www.tezaurliturgic.ro

Εὔχομαι, διαβάζοντας τὸ βίο καὶ ὑμνῶντας τὸν Ἅγιο Ῥηγῖνο μέσα ἀπὸ τὴν ἱερὰ ἀκολουθία Του καὶ προσκυνώντας τὸ ἱερό Του λείψανο, τὸν αἱματοβαμένο τόπο τοῦ μαρτυρίου Του καὶ τὴν πάλαι ποτὲ διαλάμψασα Ἱερὰ Μονή Του, νὰ μποροῦμε νὰ γνωρίσουμε, νὰ παραδεχθοῦμε καὶ νὰ ὁμολογήσουμε τὴν ἀνεξάντλητη ὀμορφιά, ἰδιαιτερότητα καὶ ἐπικαιρότητα τοῦ κατεξοχὴν Δώρου ποὺ ὁ Θεὸς ἔδωσε στὴν ἀνθρωπότητα καὶ ἐξ ὅλης τῆς καρδίας μας ν' ἀγαπήσουμε τὸ μονάκριβο γιό Του, τὸν Κύριό μας Ἰησοῦ Χριστό, ποὺ εἶναι «ἡ Ὁδὸς καὶ ἡ Ἀλήθεια καὶ ἡ Ζωή» (Ἰωάν. 14,6).

*Ἐδόθη τὴν 24η Φεβρουαρίου 2006, παραμονὴ τοῦ Ἁγίου Ῥηγίνου, πέμπτο ἔτος τῆς ἀρχιερατείας μου.*

† ὁ Χαλκίδος Χρυσόστομος



*Ὁ Μητροπολίτης Χαλκίδος-κ. Χρυσόστομος κατὰ τὴν πανήγυριν τοῦ Ἁγίου Ρηγίνου, πρὸ τοῦ τόπου τοῦ μαρτυρίου τοῦ Ἁγίου.*



## ΜΗΝΙ ΦΕΒΡΟΥΑΡΙΩ ΚΕ΄

Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν ἱερομάρτυρος

## ΡΗΓΙΝΟΥ

Ἐπισκόπου Σκοπέλου.

Ποίημα Καισαρίου Δαπόντε Μοναχοῦ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ὅλην σου τὴν ἔφεσιν, πρὸς οὐρανὸν ἀνεπτέρωσας, ἔνθα φῶς τὸ ἀνέσπερον, Ῥηγῖνε μακάριε, ἔνθα τῶν ὁσίων, δῆμοι καὶ μαρτύρων, ἐν ᾧ τῶν πόνων σου διπλᾶ τὰ γέρα εἴληφας, πανσεβάσμιε, τὰ στέφη τὰ ἀμάραντα, καὶ παραδείσου τὴν οἴκησιν, τοῦ Σωτῆρος δεόμενος, ὑπὲρ τῶν εὐφημούντων σε. (Δίς)

Νέμοις τοῖς προστρέχουσι, τῇ θείᾳ μνήμῃ σου, ἔνδοξε, νοσημάτων ἰάματα, ψυχῆς τε καὶ σώματος, καὶ τοὺς ἐν πελάγει, σῴζοις ἐκ κινδύνων τῇ προστασίᾳ σου, σοφέ, Ῥηγῖνε μάκαρ ἀξιοθαύμαστε, τροφεὺς δὲ τοῖς λιμώττουσι, καὶ πεπτωκόσιν ἀνόρθωσις, χρηματίζεις τοῖς πόθῳ σου, θείαν μνήμην γεραίρουσιν.

Ὁ ἐνδοξαζόμενος, ἐπὶ τῇ μνήμῃ Θεὸς ἡμῶν, τοῦ σοφοῦ ἀρχιποίμενος, ῥῦσαί με δεόμενον τούτου ἱκεσίαις, μόνε ἐλεῆμον, καὶ τῶν σκανδάλων τοῦ ἐχθροῦ, μεσίτην ἄλλον καὶ γὰρ οὐ κέκτημαι, πρὸς σὲ εἰ μὴ τὴν ἄχραντον, τὴν σὴν μητέρα ὦ Δέσποτα, καὶ Ῥηγῖνον τὸν ἔνδοξον, τῆς Σκοπέλου τὸν πρόεδρον.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. β'.

Ἔσοπτρον Θεοῦ, Ῥηγῖνε ἱερομάρτυς ἐγένου· ἄσπιλον γὰρ τὸ κατ' εἰκόνα τηρήσας, τὸν δὲ νοῦν ἡγεμόνα ἀνδρικῶς κατὰ παθῶν ἐνστησάμενος, ἀνελάβου τὸ καθ' ὁμοίωσιν, οἶκος γεγονὼς τῆς ἁγίας Τριάδος λαμπρότατος· ταύτῃ νῦν παριστάμενος, ἀδιαλείπτως πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐπιτελούντων τὴν θείαν μνήμην σου.

Εἰς τὸν Στίχον.

Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ὕψει τῶν ἀρετῶν, ἀνῆλθες ἐπὶ θρόνου, Σκοπέλου ἱεράρχα, ἀθλήσει δὲ Μαρτύρων τοῖς δήμοις συνηρίθμησαι.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Γενναῖος ἀθλητής, ἐν τῷ σταδίῳ ὤφθης, Ῥηγῖνε ἱεράρχα, καταβαλὼν τῆς πλάνης τὸ μάταιον ὀχύρωμα.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Καὶ θύτης τοῦ Θεοῦ, καὶ μάρτυς χρηματίσας, ἐκ τοῦ Χριστοῦ ἐδέξω, διπλοῦς καὶ τοὺς στεφάνους, Ῥηγῖνε πανσεβάσμιε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἕνα τῆς σεπτῆς Τριάδος σαρκωθέντα, ἐκύησας παρθένε, τὸν σώσαντα τὸν κόσμον, δι' ὅ σε πιστοὶ σέβομεν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Καὶ τρόπων μέτοχος καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν· διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, ἱερομάρτυς Ῥηγῖνε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.



# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακὸν τὸ «Μακάριος ἀνήρ», εἰς δὲ τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχ. η' καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Γεωπονήσας τῷ λόγῳ, μάκαρ τὴν ἄρουραν, τῶν καρδιῶν ἐδρέψω, τῶν σῶν πόνων δρεπάνῃ, τοὺς στάχυς, ὦ Ῥηγῖνε καὶ τῷ Χριστῷ, εἰς ἑκατὸν προσενήνοχας, καὶ ζιζανίων βλαστήματα ἐκτεμών, τῷ πυρὶ ἐναπετέφρωσας.

Ἐπὶ τῇ μνήμῃ προθύμως, δεῦτε συνέλθωμεν, τοῦ θείου ἱεράρχου, καὶ πιστῶς εὐφρανθῶμεν· αὐτὸς γὰρ ἑστιάτωρ ὑπάρχει ἡμῖν, τοῖς πιστῶς προσιοῦσιν αὐτῷ, καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεόν, ἱκεσίαις αὐτοῦ πάντοτε.

Ῥήσεσι θείαις παμμάκαρ, πρότερον ᾔσχυνας τὴν Εὐσεβίου πλάνην, ὡς πιστὸς οἰκονόμος, τὸ τάλαντον αὐξήσας, τὸ σοὶ δοθέν, καὶ ὡς μάρτυς δὲ ὕστερον, παρὰ Θεοῦ ὑπεδέξω διπλοῦν, σοφέ, τὸ βραβεῖον τῆς ἀθλήσεως.

Μετὰ μαρτύρων ὡς μάρτυς, ἐν οὐρανοῖς κατοικεῖς, καὶ ὡς ποιμὴν ποιμέσι συνεκτήσω στεφάνους, σοφὲ ἱεροκῆρυξ, τὴν ἱερὰν διπλοΐδα τοῖς αἵμασι, βάψας σαρκός σου χαρίσματα ἐκ Θεοῦ, τῶν θαυμάτων, μάκαρ, εἴληφας.

Ἕτερα στιχηρὰ προσόμοια.

Ἦχος β'. Ποίοις εὐφημιῶν ᾄσμασι.

Ποίοις ὑμνῳδιῶν ἄνθεσι, στεφανώσωμεν θεῖον Ῥηγῖνον, τὸν διπλοῖς στεφάνοις κοσμούμενον, τῷ τοῦ ἱεράρχου καὶ μάρτυρος, τὸν Ἑλλάδος πάσης καὶ Κυ-

κλάδων, φωστῆρα, τὸν καταυγάζοντα τὰ σύμπαντα, ἀκτῖσι τῶν θαυμασίων ὧν ἐποίησε, τὸν τὴν ψυχὴν αὐτοῦ θέντα ὑπὲρ τῆς ἑαυτοῦ ποίμνης, καὶ πρεσβεύοντα ἐκτενῶς Χριστῷ τῷ Θεῷ ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν. (Δίς)

Ποίοις οἱ εὐτελεῖς χείλεσιν, ἐπαινέσωμεν θεῖον Ῥηγῖνον, τὸν μυρίοις ἔργοις καὶ θαύμασιν, εὐηργετηκότα καὶ δόγμασι, τὴν Χριστοῦ ἁγίαν Ἐκκλησίαν, τὸ πάντιμον τῆς Ἑλλάδος ἀποκύημα, ποιμένα τὸν τῆς Σκοπέλου ἀξιάγαστον, τὸν τοῦ Ἀρείου τὴν πλάνην ἐν Συνόδῳ δείξαντα, θεομάχον πᾶσι τοῖς πιστοῖς, τὸν θερμὸν πρέσβυν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Δεῦτε τὸ εὐσεβὲς σύστημα, θείοις ῥήμασι τὸν ἱεράρχην, στέψωμεν Ῥηγῖνον καὶ μάρτυρα, καὶ τὴν κάραν θλάσαντα ὄφεως, ἐν σταδίῳ τῶν παρανομούντων, καὶ πίστιν τὴν ἀληθῆ Χριστοῦ κηρύξαντα, καὶ ὅρμον πρὸς γαληνὸν τοῦ Χριστοῦ φθάσαντα, ὡς ἀθλητὴν Κυρίου καὶ Θεοῦ ἐνδόξως, τοῦ παρέχοντος τοῖς πιστοῖς, δι' ἱκεσίας αὐτοῦ ἀφθόνως τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος α'.

Ἀσματικὴν σήμερον ᾠδὴν δεῦτε τῶν φιλεόρτων τὰ συστήματα, συγκροτήσωμεν ἐπὶ τῇ μνήμῃ τοῦ ἱεράρχου καὶ μάρτυρος Ῥηγίνου, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν λέγοντες· χαίροις ὁ τοῦ Ἀρείου τὰ ἀχυρώδη καὶ σαπρὰ δόγματα τοῖς θεοπνεύστοις καὶ βροντοφώνοις ῥήμασι διασκεδάσας, καὶ Εὐσεβίου ἐλέγξας δυσσέβειαν. χαίροις τῶν μαρτύρων τὸ καύχημα, καὶ τῶν ἐπικαλουμένων σε ἐν πίστει ἀντιλήπτορ, καὶ πρόμαχος θερμὸς τῶν πολεμουμένων· χαίροις τῆς Σκοπέλου τὸ καύχημα, καὶ τῶν Κυκλάδων νήσων τὸ φαιδρὸν ἀγαλλίαμα· ἀλλ', ὦ Ῥηγῖνε θεόσοφε, αἴτησαι πρεσβείαις σου, λυτρωθῆναι ἡμᾶς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοὺς πιστῶς ἐκτελοῦντας τὸ ἱερόν σου μνημόσυνον.



Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη, οὐρανὸς καὶ ναὸς τῆς θεότητος· αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέωξεν. Ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.

Καὶ τὰ Ἀναγνώσματα.

**Παροιμιῶν τὸ ἀνάγνωσμα.**

Μνήμη δικαίου μετ' ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς οἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα γάρ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη

www.tezaurliturgic.ro

ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες, πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ἡμᾶς ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ἡμῶν, καὶ πλησθήσεσθε πνεύματος.

### Παροιμιῶν τὸ ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστραφήσεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἂν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ σοφῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτοὺς καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀνόμοις. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, τῇ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θύρας δύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ἀσεβής. Ἐν στόματι παρανόμων παγίς, αἴσθησις δὲ δικαίων εὐωδία. Ἐν ἀγαθοῖς κατορθωθήσεται πόλις καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, ἐν στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἐν ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ γάρ ἐστι φρόνησις ἀνθρώπων καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη.



Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ τὴν ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύσει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα. Ἦχος α'.

Νῦν πρὸς ἑστίασιν ἡμᾶς πνευματικήν, ὁ θεοφάντωρ συγκαλεῖται Ῥηγῖνος, ὁ τῆς πανάγνου Τριάδος κῆρυξ λαμπρός, καὶ τῶν χειμαζομένων ταχὺς ἀντιλήπτωρ, καὶ στεῤῥὸς πρόβολος. Δεῦτε οὖν πρὸς αὐτὸν προθύμως βοήσωμεν· ἱερομάρτυς Χριστοῦ τοῦ Θεοῦ, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἦχος β'.

Ὡς τῶν θείων ἐντολῶν ἐργάτης πιστός, καὶ τῆς σῆς ποίμνης οἰκονόμος θεόσδοτος, καὶ κῆρυξ διαπρύσιος τῶν θείων δογμάτων, ὁ τὸ πιστευθέν σοι τάλαντον ἐπαυξήσας καλῶς, καὶ τῷ σῷ αἵματι τὴν διπλοΐδα φοινίξας, ὁ διπλοῦς καὶ τοὺς στεφάνους παρὰ Θεοῦ εἰληφώς, καὶ εἰς τὴν χαρὰν τοῦ Κυρίου σου ἐν ἀγαλλιάσει εἰσελθών, πρέσβευε διὰ παντὸς σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἦχος γ'.

Ἀσύγκριτον τὴν ὑπομονήν, Ῥηγῖνε πανεύφημε καὶ πανθαύμαστον τὴν καρτερίαν ἐν τῷ τῶν ἄθλων σου καιρῷ, σαφῶς ἐνδειξάμενος, ἐτμήθης τὴν κεφαλήν, καὶ ταῖς τῶν μαρτύρων συνηριθμήθης χορείαις, πρεσβεύων διὰ παντὸς ὑπὲρ ἡμῶν πρὸς Κύριον.

www.tezaurliturgic.ro

Ἦχος δ'.

Ὕμνους καὶ δεήσεις τῷ Θεῷ, ὑπὲρ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, προσφέρων μέχρι τέλους οὐκ ἔπαυσας Ῥηγῖνε, σοφέ, καὶ θυσίας ἀναιμάκτους ὡς ἱερεὺς ἐννομώτατος ἱερουργῶν τὰ θεῖα καὶ ἄῤῥητα μυστήρια, τῆς δ' ἀμωμήτου πίστεως ὑπέρμαχος ὀφθεὶς κραταιός, τὸ αἷμά σου ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, θῦμα εὐπρόσδεκτον σεαυτὸν τῇ Τριάδι προσενηνοχώς. Διὸ πρέσβευε πρὸς Κύριον ἐκτενῶς, ὡς ἔχων παῤῥησίαν τοὺς γεραίροντας τὴν μνήμην σου πιστῶς, λυτρωθῆναι πειρασμῶν καὶ παντοίων περιστάσεων.

Ἦχος πλ. α'.

Πῶς ἐξειπεῖν κατ' ἀξίαν τῶν ἀρετῶν σου, θεοφόρε, τὰ τρόπαια δυνήσομαι, καὶ τὴν τοῦ μαρτυρίου σταθερὰν καρτερίαν· ἐν ἀμφοτέροις γὰρ ἀριστεὺς ἀνεδείχθης γενναῖος, μετὰ μὲν τῶν θείων πατέρων τὰς γλωσσαλγίας τῶν αἱρέσεων, τοῖς θεοσόφοις σου λόγοις τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐξωστράκισας, μετὰ δὲ μαρτύρων ἀνδρείως ἀγωνισάμενος τοῦ Βελίαρ τὰ ἔνεδρα κατῄσχυνας. Ἀλλὰ μὴ παύσῃ δυσωπῶν Χριστὸν τὸν Θεόν, ὡς ἔχων παῤῥησίαν πρὸς αὐτόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. β'.

Ἀοίδιμε Ῥηγῖνε θεσπέσιε, καὶ θεόληπτε ποιμὴν τῆς χριστωνύμου Σκοπέλου νήσου, συνεργὸς γενόμενος Θεῷ, καρπὸν ἑκατοστεύοντα αὐτῷ τὰς ψυχὰς προσήνεγκας, τὰς ἤδη διασωθείσας τῇ διδασκαλίᾳ σου. Ἀλλὰ καὶ νῦν μὴ παύσῃ Χριστὸν τὸν Θεὸν ἐκλιπαρῶν, στηρίζεσθαι τὴν ὀρθόδοξον πίστιν τοῖς ἀληθείας δόγμασι.

Δόξα. Ἦχος πλ. δ'.

Τῷ ἱστίῳ τοῦ Ἁγίου πνεύματος, ἱερομάρτυς Ῥηγῖνε, ἡ ψυχή σου πτερωθεῖσα, τῶν αἰκισμῶν διέπλευσεν, ἀβρόχως τὸ χαλεπὸν κλυδώνιον, καὶ περιχαρῶς κατέλαβε λιμένας τοὺς ἐπουρανίους. Ὅθεν παριστάμενος τῷ



θρόνῳ τῷ δεσποτικῷ, πρέσβευε ὑπὲρ τῆς ποίμνης σου, τοὺς δ' ἀοράτους ἐχθροὺς ἡμῶν, καὶ ὁρατοὺς ἀπόπνιξον τῇ θείᾳ τῶν αἱμάτων σου πλημμύρᾳ, τῶν τὴν μνήμην σου τιμώντων ἀεί.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ἱερώτατος νοῦς, τὸ τῆς Τριάδος καθαρὸν ἐνδιαίτημα, ἡ βάσις τῆς Ἐκκλησίας, ὁ τῶν πιστῶν ἑδρασμός, τῆς Σκοπέλου νήσου ἡ βοήθεια, καὶ πρόεδρος ὅσιος, ὁ μαρτύρων ἐφάμιλλος, ὁ κάραν θείαν ἐκτιμηθεὶς ὑπὲρ πίστεως. Ὅθεν μέμνησο, ὦ Ῥηγῖνε τῆς ποίμνης σου, ἔμπροσθεν παριστάμενος, Θεοῦ τοῦ παντάνακτος, ἵνα κινδύνων παντοίων, καὶ περιστάσεων ἅπαντας ἡμᾶς ἐκλυτρῶσαι, τοὺς τὴν μνήμην σου τιμῶντας τὴν ἀεισέβαστον.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Χαίροις ὁ θείου πλήρης φωτός, ὡς τῇ Τριάδι ἐσαεὶ παριστάμενος, κἀκεῖθεν φωτοχυσίαις λαμπόμενος θεϊκαῖς· ξίφει γὰρ ἐτμήθης, κάραν, ἔνδοξε, ἀνῆλθες πρὸς ἄφθαρτα, ὦ Ῥηγῖνε, σκηνώματα, ἔνθα τὰ πλήθη τῶν Ἀγγέλων διάγουσι, καὶ Ἀπόστολοι σὺν προφήταις καὶ μάρτυσι, θεῖοί τε ἀρχιποίμενες, καὶ ὅσιοι ἅπαντες, σὺν οἷς ἱκέτευε μάκαρ, ὑπὲρ ἡμῶν τῶν τιμώντων σου, τὴν πάνσεπτον μνήμην, λυτρωθῆναι ἐκ κινδύνων καὶ πάσης θλίψεως.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ἄγε δή, ὦ Ῥηγῖνε σοφέ, τὴν χαριστήριον ᾠδὴν ταύτην πρόσδεξαι, σὺν πόθῳ, καὶ ἐκ καρδίας προερχομένην λαοῦ, ὅν ποτε ἐν γῇ πιστῶς ἐποίμανας, καὶ νῦν, πά-

τερ τίμιε, μὴ ἐλλείπῃς πρὸς Κύριον, ἀεὶ πρεσβεύων καὶ κινδύνων ῥυόμενος, καὶ ἁλώσεως, καὶ παντοίας κακώσεως. Μέμνησο οὖν, πανεύφημε, Σκοπέλου τῆς ποίμνης σου, μετὰ δακρύων αἰτούσης, καὶ στεναγμῶν τὴν βοήθειαν τὴν σήν, καὶ παράσχου ἡμῖν ἅπασι τὸ μέγα καὶ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. β′.

Σήμερον ἐν τῷ θείῳ τεμένει τοῦ σεπτοῦ ἱερομάρτυρος Ῥηγίνου, οἱ φιλέορτοι συνελθόντες πιστῶς πανηγυρίσωμεν, καὶ προφητικῶς πρὸς αὐτὸν ἐκβοήσωμεν λέγοντες· μακάριος ὁ φοβούμενος τὸν Κύριον· οὐ γὰρ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. Διὸ καὶ ὡς φοῖνιξ ἐν τῷ οἴκῳ τοῦ Κυρίου φυτευθείς, δικαίως ἐξήνθησας ἐν ταῖς αὐλαῖς αὐτοῦ, καὶ τῷ ἰδίῳ αἵματι ποτισθεὶς τοὺς καρποὺς τῶν σῶν πόνων προσεκόμισας τῷ Δεσπότῃ σου, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ἁγίου Ῥηγίνου.

Ἦχος α′. Τῆς ἐρήμου πολίτης.

Λεβαδείας τὸν γόνον καὶ Σκοπέλου Ἐπίσκοπον, τὸν Ἱερομάρτυρα Ῥηγῖνον οἱ πιστοὶ ἀνυμνήσωμεν. Προστάτην, πολιοῦχον καὶ φρουρὸν τῆς νήσου καὶ τῆς πόλεως ἡμῶν. Τὰς ἰάσεις χορηγοῦντι τοῖς μετὰ πόθου Αὐτῷ ἀναβοῶσι· Δόξα τῷ Σὲ δοξάσαντι, Δόξα τῷ Σὲ στεφανώσαντι, Δόξα τῷ ἐνεργοῦντι διὰ Σοῦ πᾶσιν ἰάματα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεξαμένου...



# ЄΝ ΤѠ ΟΡΘΡѠ

Μετὰ τὴν α′ στιχολογίαν Κάθισμα.

Ἦχος α′. Τὸν τάφον σου Σωτήρ.

Τὸν τάφον σου, σοφέ, ἰαμάτων πλουτοῦμεν, ἀέναον πηγήν, καὶ ταμεῖον θαυμάτων· διώκει γὰρ πνεύματα, θεραπεύει νοσήματα, ἀποκρούεται, καὶ λοιμικὴν πᾶσαν νόσον, ἐκ τῆς ποίμνης σου, ἣν ἐκ Θεοῦ ἐπιστεύθης· διό σε δοξάζομεν.

Δόξα. Ἦχος πλ. α′. Τὸν συνάναρχον λόγον.

Τῆς Τριάδος τὴν πίστιν καθοπλισάμενος, τῶν πατέρων ἐν μέσῳ, Ῥηγῖνε ἤστραψας, καὶ κατηύγασας πιστοὺς θείοις διδάγμασι· Ἀρείου γὰρ τοῦ ἀσεβοῦς, καὶ Εὐσεβίου τὴν ἀχλὺν ἀπεσκοράκισας, μάκαρ, καὶ νῦν πρεσβεύεις Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῆς Τριάδος τὸν ἕνα, πάναγνε τέτοκας, τῆς Τριάδος τὸ πλάσμα οὖν με ἐλέησον, καὶ ἀξίωσον τυχεῖν τοῦ καθ' ὁμοίωσιν· ἀπεστερήθην γὰρ κακῶς τῇ συμβουλίᾳ τοῦ ἐχθροῦ, καὶ φεῦ! παρασυνεβλήθην τοῖς κτήνεσι τοῖς ἀλόγοις· ἐπιστροφὴν τοίνυν μοι δώρησαι.

Μετὰ τὴν β′ στιχολογίαν Κάθισμα.

Ἦχος δ′. Κατεπλάγη Ἰωσήφ.

Ὀρθοδόξοις καὶ πιστοῖς, πάτερ διδάγμασι, σοφέ, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ περιετείχισας καλῶς, καὶ τῶν ἀθέων τὸ φρύαγμα ἐξηφάνισας. Ὅθεν ἀκλινὴς στύλος πίστεως, καὶ πρόβολος στεῤῥός, ἐδείχθης, ἔνδοξε,

www.tezaurliturgic.ro

καὶ μαρτυρίου αἵμασι, παμμάκαρ, τὴν διπλοΐδα ἐφοίνιξας. Ὡς οὖν ἐγγίζων τῷ θείῳ θρόνῳ, πρέσβευε σωθῆναι ἡμᾶς.

Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ὀρθοδόξως καὶ πιστῶς ὁμολογοῦμεν, ἀγαθή, σὲ μητέρα τοῦ Θεοῦ, καὶ ἀνωτέραν τοῦ παντός, καὶ ἀσυγκρίτως τῶν θείων ἁγιωτέραν, θρόνων Χερουβίμ, καὶ τῶν φρικτῶν Σεραφείμ, καὶ τῶν ἄλλων πασῶν τῶν νοερῶν στρατιῶν· ᾧ γὰρ ἐκεῖναι φρίττουσι προσβλέψαι, ἐπιθυμοῦσαι τοῦ κάλλους αὐτοῦ, οὗ παναγία ἡμῶν Κυρία ἀποῤῥήτως ἐγέννησας.

Μετὰ τὸν πολυέλεον Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐπεφάνης σήμερον ἡμῖν τοῖς τέκνοις, ἐν τῇ θείᾳ μνήμῃ σου, πάτερ, χαρίζων ἐκ Θεοῦ, χαρὰν καὶ ῥῶσιν τοῦ σώματος, καὶ τῶν πταισμάτων ἡμῶν τὴν συγχώρησιν.

Δόξα. Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Ἀπαστράπτων τῷ φέγγει τῶν ἀρετῶν, καὶ τῶν λόγων σου κάλλει μαρμαρυγαῖς, τὸν κόσμον ἐφώτισας, καὶ τὸ σκότος ἐμείωσας, καὶ αἱρέσεων πλάνην εἰς τέλος ἠφάνισας, ὡς πιστὸς οἰκονόμος τῆς ποίμνης σου, ἔνδοξε. Ὅθεν τῆς Τριάδος ἀνεδείχθης ταμίας, καὶ μάρτυς ἀήττητος. Διὰ τοῦτο βοῶμέν σοι, τῆς Σκοπέλου, ὦ πρόεδρε· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Παναγία παρθένε, Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ ἴασαι δέομαι, καὶ συγγνώμην παράσχον μοι τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. Οἴμοι τί ποιήσω ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἡνίκα οἱ ἄγγελοι τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; τότε, Δέσποινα,



βοήθειά μου γενοῦ, καὶ προστάτης θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς Σάββασι διὰ τῶν σπορίμων, οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν καὶ ἤρξαντο τίλειν στάχυας καὶ ἐσθίειν. Οἱ δὲ Φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ. Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν Σαββάτῳ. Ὁ δὲ εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε, τί ἐποίησε Δαβίδ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ, πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐδὲ τοῖς μετ᾽ αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις; οὐκ ἀνέγνωτε ἐν νόμῳ, ὅτι τοῖς Σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ Σάββατον βεβηλοῦσι καὶ ἀναίτιοί εἰσι; λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. Εἰ δὲ ἐγνώκειτε, τί ἐστιν, ἔλεον θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους· κύριος γάρ ἐστι τοῦ Σαββάτου ὁ Υἱὸς τοῦ ἀνθρώπου.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Τὸ θεῖον πῦρ καὶ ἄϋλον τὸ τὰς διανοίας τῶν πιστῶν καταυγάζον ἐν τῇ καρδίᾳ σου, Ῥηγῖνε, δεξάμενος, ἀρχιερεὺς Σκοπέλου ἐχρημάτισας. Ὅθεν ταῖς ἀκτῖσι ταῖς μυστικαῖς πάντας φωτίζεις τοὺς προσιόντας σοι. Φλέγεις δὲ πάλιν τὰς ἀκανθώδεις τῶν αἱρετικῶν μυθουργίας.

Ἀλλ', ὦ μύστα, καὶ μάρτυς Χριστοῦ, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ'.

Καὶ τοῦ Ἁγίου εἰς η'.

Κανὼν τῆς Θεοτόκου, ποίημα Νικηφόρου μητροπολίτου οὗ ἡ ἀκροστιχίς·

Τυφλῶν ὁδηγήτρια φῶς μου παρέχει.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. (Δίς)

Τράνωσόν μου γλῶσσαν καὶ τὴν ψυχήν, ἀνύμφευτε Μῆτερ Ὁδηγήτρια τῶν πιστῶν, ὅπως ἐν αἰνέσει μεγαλύνω, τῶν οἰκτιρμῶν σου τὸ ἄπειρον πέλαγος.

Ὑπάρχουσα Μήτηρ τοῦ Λυτρωτοῦ, δι' οἶκτον ἀνθρώπων κενωθέντος μετὰ σαρκός, αὐτὸν ἐκδυσώπει τοῦ σωθῆναι, ἡμαρτηκότα κἀμὲ Ὁδηγήτρια.

Φθαρέντα τὸν νοῦν μου καὶ τὴν ψυχήν, ἐξ ἔργων ἀτόπων, Ὁδηγήτρια σὺ πρὸς φῶς, ὁδήγησον θείας μετανοίας, καὶ τῆς ζωῆς μοι τὰς πύλας διάνοιξον.

Λῃστὴν καὶ τὴν πόρνην καὶ Μανασσῆν, καὶ πάντας ἀνθρώπους ἁμαρτίᾳ νενικηκώς, προσέρχομαί σοι τῇ φιλανθρώπῳ, ἀντιλαβοῦ μου καλῶν Ὁδηγήτρια.

Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Θεόθεν τὴν φωτοφόρον, ἔνδοξε, χάριν κατάπεμψον, ὅπως τὴν σὴν ἰσχύσω ὡς εἰκός, ἐξυμνῆσαι πανήγυριν· σοῦ γὰρ τοῖς παρακλήσεσιν, ἔχεις Χριστὸν σοῦ ἐπακούοντα.



Ὑπάρχων χωρητικὸν τοῦ πνεύματος, Ῥηγῖνε, ὄργανον, σῶν διδαγμάτων μάκαρ καλλοναῖς, τὴν σὴν ποίμνην ἐκόσμησας, καὶ ταύτης πόῤῥῳ ἤλασας, αἱρετιζόντων τὰ φρυάγματα.

Χορείαν πνευματικὴν φιλέορτοι, δεῦτε στησώμεθα, ἐπὶ τῇ θείᾳ μνήμῃ τοῦ σοφοῦ, ἱεράρχου καὶ μάρτυρος, διηνεκῶς πρὸς Κύριον, μνείαν ποιοῦντος ὑπὲρ πάντων ἡμῶν.

Θεοτοκίον.

Γενοῦ μοι καταφυγὴ πανάμωμε, τῶν ἀμετρήτων κακῶν, κυλινδουμένῳ βίου ἡδοναῖς, καὶ πρὸς ὅρμον με ἴθυνον τὸν γαληνόν, πανάχραντε, ὡς ἀνωτέρα πάσης κτίσεως.

Ἕτερος κανὼν τοῦ Ἁγίου.
Ποίημα Παρθενίου πατριάρχου Ἱεροσολύμων.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Τὸν ἱεράρχην τῆς Σκοπέλου στέψωμεν, τοῖς ἐγκωμίοις πιστῶς, τὸν σοφὸν Ῥηγῖνον· οὗτος γὰρ νῦν πρόκειται, τῆς ἑορτῆς ὑπόθεσις. Τούτου οὖν καὶ τοὺς ἄθλους, νῦν ἐπαινέσαι συνήχθημεν, τῷ σεπτῷ ναῷ οἱ φιλέορτοι.

Κινείσθω γλῶσσα γηγενῶν πρὸς ἔπαινον, ἀνδρὸς τὰ θεῖα σοφοῦ, οὐρανὸν οἰκοῦντος, κατοικίαν ἄληκτον, ἀγγέλοις ἀγελάζοντος, καὶ Θεῷ παρεστῶτος, μισθὸν τῶν πόνων καὶ ἄθλων τε, ὧν ὑπὲρ Χριστοῦ ἠγωνίσατο.

Θείων πατέρων ἱερὰ ὁμήγυρις, ἐν Σαρδικῇ γέ ποτε, τὴν σοφίαν μάκαρ, σοῦ ὑπερεθαύμασε, τὰ θεῖα ἐκδιδάσκοντος, καὶ σαφῶς ἀναιροῦντος, τὰ ἀχυρώδη διδάγματα, τῶν δυσσεβεστάτων αἱρέσεων.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Δεδουλωμένον ἡδοναῖς τοῦ σώματος, τὸν νοῦν μου, Δέσποινα, καὶ ἀγαθὴ μόνη, ὅλον ἐλευθέρωσον, καὶ δοῦλον γνησιώτατον, ἀγαθῶν ἐργασίαις, τοῦ σοῦ Υἱοῦ με ἀνάδειξον, ὅπως κατὰ χρέος δοξάζω σε.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Ὡς Ἀδὰμ παρακούσας, τῶν ἐντολῶν Δέσποινα, τοῦ πεποιηκότος με θάνατον ἀπετρύγησα, ἀτίμοις πάθεσιν. Ἡ τὸν Χριστὸν τετοκυῖα, πρὸς ζωὴν μ' ὁδήγησον, σὺ Ὁδηγήτρια.

Νινευῖται νηστείαν, καὶ προσευχὴν εὕρηντο, τῆς καταστροφῆς Ὁδηγήτρια ἐπανόρθωσιν, ἣν ἐδωρήσατο, τούτοις Χριστὸς ὁ Υἱός σου, ὃν δυσώπει Δέσποινα κατοικτιρῆσαί με.

Ὁ τελώνης στενάξας, ἀπὸ ψυχῆς εἴληφε, τῶν ἁμαρτημάτων τὴν λύσιν. Κἀγὼ νῦν κράζω σοι, ὦ Ὁδηγήτρια ἐν κατανύξει καρδίας, ὅπως ἀπαλλάξῃς με, παθῶν καὶ θλίψεων.

Δαπανήσας ἀσώτως, τὰς δωρεὰς Δέσποινα, ἄσωτος ὡς πρὶν τοῦ Υἱοῦ σου θεῖα χαρίσματα, νῦν δὴ προσέρχομαί σοι, Ὁδηγήτρια, μόνῃ· τούτῳ με οἰκείωσον τῇ εὐσπλαγχνίᾳ σου.

Κανὼν τοῦ Ἁγίου. Εὐφραίνεται ἐπὶ σοί.

Τὴν θείαν σου καὶ σεπτήν, τοῖς ἐκτελοῦσιν ἑορτήν, φάνηθι, πρὸς τὸν Θεὸν ἔνδοξε, πρέσβυς καὶ μεσίτης θερμότατος.



Ναυτίλων οἱ ἀρχηγοὶ τοῦ Ἱεράρχου τῷ ναῷ πρόσιτε· πρὸς Θεὸν γὰρ ἔνθερμος, πρέσβυς τυγχάνει ἡμῶν πάντοτε.

Οὐ κάθειρξις, οὐ λιμός, οὐ χαλεπαὶ τοῦ δυσμενοῦς βάσανοι, τῆς τοῦ Χριστοῦ πίστεως, ἴσχυσαν· Ῥηγῖνε, χωρίσαι σε.

Θεοτοκίον.

Ἐποίησέ σοι σαφῶς τὰ μεγαλεῖα ὁ Θεὸς ἄχραντε, καὶ ταπεινοὺς ὕψωσεν, ὡς σὺ Θεομῆτορ προέφησας.

Ἕτερος κανών. Οὐρανίας ἁψῖδος.

Οὐρανίων ἁψίδων, προσεπιβὰς ὅσιε, σὺν ἀγγέλοις πάτερ, νῦν παριστάμενος ἔνδοξε, χοροστατῶν τε αὐτοῖς, καὶ ἅμα τούτοις χορεύων, καὶ συνευφραινόμενος, Ῥηγῖνε πάνσοφε.

Εὐσεβῶν γεννητόρων, φὺς καὶ τραφεὶς ἔνδοξε, τὸν τῆς εὐσεβείας ἀπέθου σπόρον ταῖς αὔλαξι, ταῖς τῆς καρδίας σου, ἐπιμελῶς φυτουργήσας, καρποφόρον ἔδειξας, βαθεῖαν ἄρουραν.

Ἐραστὴς τῆς σοφίας, ὑπερφυὴς γέγονας, καὶ τοῖς ὅπλοις ταύτης ὡπλίσω, Ῥηγῖνε πάνσοφε. Γενναίοις βέλεσι, καὶ τῇ μαχαίρᾳ τῶν λόγων, ἀντιπαριστάμενος, ἐχθροὺς κατέπληξας.

Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα, ὅπως ἐπιγνοὺς τὸν Δεσπότην ἔργοις τιμήσω καλοῖς. Ἐγὼ δὲ πάθεσι, τὴν δωρεὰν ἀτιμάσας, τὸν Δεσπότην ὕβρισα· Δέσποινα σῶσόν με.

www.tezaurliturgic.ro

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τῆς Τριάδος ὁ μύστης καὶ ὑπουργός, Ἐκκλησίας ὁ πρόμαχος ὁ στεῤῥός, ὁ κῆρυξ τῆς πίστεως, καὶ αἱρέσεως ἔλεγχος, καὶ πιστὸς οἰκονόμος τῆς ποίμνης σου ἔνδοξε, τῶν μαρτύρων ὄντως, Ῥηγῖνε, συμμέτοχος, ῥῦσαι ταῖς εὐχαῖς σου τοὺς τῷ θείῳ ναῷ σου, προστρέχοντας πάντοτε, τοῦ δεινοῦ πολεμήτορος, ἵνα πόθῳ βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν, καὶ στένων κραυγάζων σοι ἐκ καρδίας, πανάχραντε. Ἐν ἐμοὶ θαυμάστωσον τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου τὸν ἀμέτρητον πλοῦτον, καὶ δός μοι μετάνοιαν καὶ πταισμάτων συγχώρησιν, ἵνα πίστει κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀχρεῖος οἰκέτης σου.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Ἡ πυράφλεκτος βάτος σε πρῴην ἐξεικόνιζεν, Ὁδηγήτρια· τῷ πυρὶ γὰρ τῆς Θεότητος, οὐδαμῶς ἐφλέχθης Θεὸν τέξασα.

Γηγενῶν Ὁδηγήτρια πρὸς τὰς σωτηρίους ὁδοὺς ὑπάρχουσα, τῶν γηΐνων περιστάσεων καὶ παθῶν με ῥῦσαι, θεονύμφευτε.

Ἡ σκηνὴ προετύπου σε πάλαι Ἀβραάμ, σαφῶς Ὁδηγήτρια· Θεὸν λόγον γὰρ ἐγέννησας, τῆς Τριάδος ἕνα ὑπὲρ ἔννοιαν.



Τὸ χρυσοῦν παρεδήλου σε, πρὶν θυμιατήριον Ὁδηγήτρια· τῶν βροτῶν γὰρ ἁμαρτήματα, διὰ σοῦ καὶ πάθη ἐξιλάσκονται.

Κανὼν τοῦ Ἁγίου. Ὁ καθήμενος ἐν δόξῃ.

Νυσταγμὸν τοῖς σοῖς βλεφάροις, θεοφάντορ οὐκ ἔδωκας, ἕως τοὺς ἐν ζόφῳ τῷ τῆς ἀγνωσίας καθεύδοντας, υἱοὺς φωτὸς κατεσκεύασας· τὸ δὲ φρύαγμα τῶν δυσσεβῶν ἀπημαύρωσας.

Εἰς τὴν ποίμνην σου Χριστός σε, Ἱεράρχα ἐπέθηκε, φαεινὸν ὡς λύχνον, καὶ τὰς γλωσσαλγίας ἐνέπρησας, καὶ πρὸς ζωὴν τὴν ἀγήρω καθωδήγησας, τοὺς κραυγάζοντας· δόξα Χριστὲ τῇ δυνάμει σου.

Τῶν δογμάτων σου τοῖς ῥείθροις, τὴν σὴν ποίμνην κατήρδευσας. Ἐδὲμ ὡς ἐξ ἄλλης, πάτερ ποταμὸς πορευόμενος, καὶ εὐθαλῆ ἀναδείξας τὰ ζιζάνια, τῶν αἱρετιζόντων, Ῥηγῖνε, ἀπέπνιξας.

Θεοτοκίον.

Ῥάβδος ἔφυς Θεοτόκε Ἰεσσαί, τοῦ προπάτορος ἐξ οἰκείας ῥίζης ἐκ σοῦ δὲ τὸ ἄνθος ἀνέτειλεν, ὁ ποιητὴς τῶν ἁπάντων καὶ ἐζώωσε, τοὺς θανόντας πρίν, τῷ τοῦ Ἀδὰμ ὀλισθήματι.

Ἕτερος κανών. Εἰσακήκοα Κύριε.

Τῇ σοφίᾳ τῶν λόγων σου, τῶν αἱρετικῶν καθεῖλες φρυάγματα, καὶ τὴν ποίμνην σου ἐφύλαξας, τῆς λυμώδους δόξης σὺ ἀποίμαντον.

Τὴν ψυχήν σου ὡς κάτοπτρον, καθαρὰν εἰργάσω, Ῥηγῖνε ἔνδοξε, καὶ τοῦ πνεύματος τῇ χάριτι, σελασφόρον πάτερ ἐναπέδειξας.

Ἐγκρατείᾳ ἐνήθλησας, καὶ ταῖς χαμευνίαις ἐκ βρέφους ὅσιε, τῆς σαρκός σου τὰ σκιρτήματα, ἀνδρικῶς Ῥηγῖνε κατεπάλαισας.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ, τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ὠδὴ ε΄. Ὁ εἱρμός.

Φώτισον ἡμᾶς τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

Ῥάβδος Ἀαρών, προεμήνυσε τὸν τόκον σου, Ὁδηγήτρια τὸν ἄφθορον· ἐκ σοῦ γὰρ ἔφυ ἀσπόρως ὁ ὑπερούσιος.

Ἵλεων ἡμῖν Ὁδηγήτρια ἀπέργασαι, τὸν Υἱόν σου καὶ Θεὸν ἡμῶν, καὶ ῥῦσαι πάσης καταδίκης καὶ κολάσεως.

Ἅπασαν αἰσχρῶς, ἁμαρτίαν διετέλεσα, καὶ τὸν νοῦν μου κατεῤῥύπωσα. Σὺ οὖν πρὸ τέλους Ὁδηγήτριά μου οἴκτιρον.

Φρίττω ἐννοῶν τὰ ἐκεῖ δικαστήρια, ταῖς ἁμαρτίαις βαρυνόμενος. Ἱλέωσαί μοι τὸν κριτὴν Ὁδηγήτρια.

Κανὼν Τοῦ Ἁγίου. Ἐξέστη τὰ σύμπαντα.

Ῥηγῖνε τὸ τάλαντον, τῆς χάριτος ἐπηύξησας, τῇ γεωπωνίᾳ τῶν σῶν λόγων, τὸ ἐκ Θεοῦ σοι δοθὲν μακάριε. Ὅθεν εἰς τὴν ἄληκτον χαράν, χαίρων εἰσελήλυθας, ἣν Χριστός σοι ἡτοίμασε.

Θυσία προσηνέξαι, παμμάκαρ τῷ Δεσπότῃ σου, διὰ τοῦ σεπτοῦ σου μαρτυρίου· ὡς δ' Ἱεράρχης πιστὸς τῇ ποίμνῃ σου, τῶν ἑτεροδόξων τὰ σαθρά, πάτερ διεσκέδασας, ἀχυρώδη διδάγματα.

Προθύμως τὸ σύστημα, τὸ τῆς Σκοπέλου δράμωμεν, ἱερεῖς πρεσβῦται καὶ τὰ πλήθη, ἐπὶ τῇ μνήμῃ τοῦ ἱε-



ροκήρυκος· πρὸς γὰρ πανδαισίαν συγκαλεῖ, τῶν πιστῶν τὸ πλήρωμα, δεῦτε οὖν ἑορτάσωμεν.

Θεοτοκίον.

Μητέρα ἀπείρανδρον, παρθένον μετὰ γέννησιν, σὲ ὁμολογοῦμεν Θεομῆτορ, τὴν τὸν ἁπάντων κτίστην κυήσασαν, καὶ πρὸ σὲ βοῶμεν ἐκ ψυχῆς· ῥῦσαι ταῖς πρεσβείαις σου, τοὺς σοὺς δούλους ἐκ θλίψεων.

Ἕτερος κανών. Ἵνα τί με ἀπώσω.

Ἀρετὴν μὴν κρυβῆναι, πάμπαν γε ἀδύνατον πέλει μακάριε, ὥσπερ οὐδὲ λύχνον ὑπὸ μόδιον εἶναι ἐνδέχεται, ἀλλ' ἐπὶ λυχνίαν τὸν φωτισμὸν ἀντιπαρέχειν, τοῖς ἀξίως τῷ λόγῳ προσέχουσι.

Ὑψηλῇ ἐν καθέδρᾳ, πάτερ σε ἀνύψωσε χάρις τοῦ πνεύματος, καὶ σκοπὸν λαοῦ τε χριστωνύμου Θεός τε ἐπέθετο, ἀνὰ χεῖρα δούς σοι τὴν σάλπιγγα τοῦ θείου λόγου, τοῦ σαλπίζειν τὰ θεῖα διδάγματα.

Ὡς ποιμένι σοι ῥάβδον, ποιμαντικὴν ὅσιε Χριστὸς ἐχείρισεν, ἐπὶ ζωηφόρον τὴν νομὴν ὁδηγεῖν σου τὰ πρόβατα. Ὅθεν σὺ ὦ πάτερ ποιμαντικῶς ταῦτα ἐκθρέψας, ἐπιμελῆ τῷ Δεσπότῃ προσήγαγες.

Θεοτοκίον.

Παναγία παρθένε Λόγον τὸν πανάγιον ἀποκυήσασα, τῆς ψυχῆς μου πᾶσαν ἀθυμίαν καὶ λύπην ἀπέλασον, καὶ εὐόδωσόν μου τὸν λογισμὸν τὰ θεῖα πράττειν, ἵνα πόθῳ καὶ πίστει δοξάζω σε.

Ὠδὴ στ΄. Ὁ εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν· ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

www.tezaurliturgic.ro

Ὠμῶς μοι καὶ ἀναιδῶς ἐπέθεντο, τῶν δαιμόνων οἱ πιστοὶ ὁδοστάται, καὶ ληστρικῶς τὴν ψυχὴν μαστιγοῦντες, ἐκ τῆς ὁδοῦ τῆς ζωῆς ἀπεπλάνησαν, καὶ δέομαί σου ἀγαθή, Ὁδηγήτρια πρόφθασον σῶσόν με.

Συνήθως τὰ σὰ ἐλέη Παρθένε, ἐπ' ἐμὲ τὸν σὸν ἀνάξιον δοῦλον, ἱκετικῶς σοι προσπίπτοντα πέμψον, καὶ τῶν παθῶν καὶ δαιμόνων ἀπάλλαξον, καὶ δίδου μοι εὐθυπορεῖν, Ὁδηγήτρια τρίβον σωτήριον.

Μακράν με τῶν ἀγκαλῶν γεγονότα, τοῦ Θεοῦ ἁμαρτιῶν διὰ τὸ πλῆθος, σὺ τὰ αὐτοῦ Ὁδηγήτρια σπλάγχνα, καὶ τὴν πολλὴν ἀγαθότητα κίνησον· ὡς μήτηρ γὰρ τοῦ Ἀγαθοῦ, μεσιτεύειν ἀνθρώποις κεκλήρωσαι.

Ὁ νοῦς μου ταῖς ὑλικαῖς προσπαθείαις, ἐμπαγεὶς ἀπεκτηνώθην ἀφρόνως, καὶ τοῦ Θεοῦ μακρυνθεὶς θεωρίαις, θηρσὶν ἀγρίοις ἀθλίως ἀπείκασμαι. Ἐπίστρεψόν με ἀγαθή, πρὸς Χριστὸν Ὁδηγήτρια Δέσποινα.

Κανὼν τοῦ Ἁγίου. Ἐβόησε προτυπῶν.

Ἐκέκτησο θησαυρὸν ἐναργῆ καὶ ἀδάπανον, ἐν καρδίᾳ τὸν Χριστὸν θεηγόρε καὶ ἄσυλον, τῶν αἱρετιζόντων σκινδαλμοὺς οὐδὲν λογισάμενος.

Ἐκάθησας εἰς καθέδραν, Ῥηγῖνε θαυμάσιε, τὴν σὴν πόλιν ὁδηγῶν πρὸς τὴν θείαν ἐπίγνωσιν. Ὅθεν σὲ τιμῶμεν, ὡς προστάτην θερμὸν εὐμοιρήσαντες.

Οὐκ ἴσχυσαν τοῦ Χριστοῦ τῆς ἀγάπης, χωρίσαι σε ἱεράρχα, οὐ λιμός, οὐ γυμνότης, οὐ μάχαιρα. Διὸ καὶ θαυμάτων αὐτουργὸς ἐχρημάτισας ἔνδοξε.

Θεοτοκίον.

Ἀνέθηκα ἐπὶ σὲ τὴν ἐλπίδα μου ἅπασαν Θεομῆτορ, καὶ πρὸς σὲ ὁ παντλήμων κατέφυγον ταῖς σαῖς ἱκεσίαις, ἐκ παντοίων κινδύνων με λύτρωσαι.



Ἕτερος κανών. Ἱλάσθητί μοι Σωτήρ.

Οὐκ ἤνεγκεν ὁ Σατάν, ἐκκλησιῶν τὴν ὁμόνοιαν, ἀλλ' ἔπνευσεν ὡς βοῤῥᾶς, καὶ ἀνεζωπύρησε, τὴν Ἀρείου αἵρεσιν, ἣν σὺ κατασβέσας ὦ Ῥηγῖνε ἐξηφάνισας.

Κενταύρου δίκην ὁρμῶν, ὁ Ἄρειος καὶ Εὐσέβιος, διπλοῦν θηρίον κακὴν συνθήκην αἱρέσεως, οἱ τ' αὐτῶν συνέθεντο, ὀπαδοὶ παμμάκαρ, ἀλλὰ σὺ τούτους κατέβαλες.

Τὸ θέατρον Σαρδική, τὸ τοῦ ἀγῶνος ἡτοίμασε, τοὺς στρατιώτας Χριστοῦ αἱ πόλεις δεδώκασι, τὸν Ῥηγῖνον Σκόπελος τὸν γενναῖον ὄντως ἐδεδώκει ἀρχιστράτηγον.

Θεοτοκίον.

Ὑμνοῦμέν σε οἱ πιστοί, θεοχαρίτωτε Δέσποινα· τὸν ὑπερύμνητον γὰρ Θεὸν ἀπεκύησας, ὃν δυσώπει ἄχραντε πόλιν, καὶ λαόν σου ἐν εἰρήνῃ διασῴζεσθαι.

Κοντάκιον.

Ἦχος δ'. Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους.

Τὸν φεραυγῆ τῆς Ἐκκλησίας ἥλιον, καὶ τῶν ὁσίων τὸ θεῖον ἀγλάϊσμα, τῶν μαρτύρων ἰσοστάσιον, τὸν ποιμένα Σκοπέλου Ῥηγῖνον, ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν, βοῶντες πρὸς αὐτὸν ἐκ πίστεως· τὴν ποίμνην σου σῷζε ταῖς πρεσβείαις σου.

Ὁ οἶκος.

Ἀξίνη τῆς Ἐκκλησίας τοῦ Χριστοῦ χρηματίσας Ῥηγῖνε, τῶν αἱρέσεων τὰ ζιζάνια, καὶ ἀκανθώδη βλαστήματα, τελείως ἐκριζώσας τῷ τοῦ πνεύματος πυρὶ ἀποτεφρώσας, τοῖς δὲ εὐαγγελικοῖς σου διδάγμασιν ἐλαίαν κατάκαρπον ἀνέδειξας αὐτήν. Διὸ συνελθόντα τὰ τέκνα αὐτῆς, χορείαν ἑόρτιον κροτοῦμεν καὶ φαιδράν, καὶ

πρὸς σὲ βοῶμεν ἐκ πίστεως· τὴν ποίμνην σου σῷζε ταῖς πρεσβείαις σου.

Τῷ αὐτῷ μηνὶ κε' μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ῥηγίνου ἐπισκόπου Σκοπέλου.

Στίχοι
Ἄσειστος εἶ Ῥηγῖνε τὴν προθυμίαν
κἂν δεινὸν ἐνσείσωσι πυκνά σοι ξίφη.
Πέμπτῃ Ῥηγῖνον καὶ εἰκάδε φάσγανον ἔκτα.

## Βίος Ἁγίου Ῥηγίνου

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἱερομάρτυς Ῥηγῖνος ἔζη καθ' οὓς χρόνους ἐβασίλευον οἱ υἱοὶ τοῦ θεοστέπτου καὶ πρώτου βασιλέως τῶν Ὀρθοδόξων χριστιανῶν, τοῦ ἁγίου Κωνσταντίνου, ὁ μὲν Κωνστάντιος τῆς βασιλίδος τῶν πόλεων Κωνσταντινουπόλεως, τῆς πρότερον καλουμένης Νέας Ῥώμης, ὁ δὲ Κώνστας τῆς (παλαιᾶς) Ῥώμης. Κατήγετο δὲ ἐκ Λεβαδείας ἐκ γονέων χριστιανῶν, οἱ ὁποῖοι καὶ τὸν Θεὸν ἐφοβοῦντο καὶ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐπολιτεύοντο. Ὅτε ὁ Ῥηγῖνος ἦλθεν εἰς ἡλικίαν δεκτικὴν γραμμάτων, ἐξέδωκαν αὐτὸν οἱ γονεῖς εἰς τὴν μάθησιν αὐτῶν· ἀγχίνους δὲ ὢν καὶ ἐπιτήδειος, ἔμαθεν ἐν ὀλίγῳ χρόνῳ πᾶσαν ἐπιστήμην καὶ σοφίαν, ὄχι μόνον τὴν ἑλληνικὴν ἀλλὰ καὶ τὴν ἐκκλησιαστικήν, ἔχων σύντροφον καὶ συμβοηθὸν τὴν καθαρὰν πολιτείαν καὶ τὴν ἐγκράτειαν καὶ τὴν ἄσκησιν. Διότι ἐκ νεαρᾶς ἡλικίας ἠγάπησε τὴν ἀσκητικὴν ζωὴν καὶ τὴν σκληραγωγίαν, διὰ νηστειῶν καὶ ἀγρυπνιῶν καὶ χαμαικοιτιῶν ταλαιπωρῶν καὶ καταδαμάζων τὸ σῶμά του διὰ νὰ λαμπρύνῃ τὴν ψυχὴν καὶ νὰ τὴν κάμῃ οἶκον τῆς ἁγίας Τριάδος. Ἕνεκα δὲ τούτου ὁ Θεός, βλέπων τὸν πόθον αὐτοῦ καὶ τὸν ἔρωτα, τὸν ἀντήμειψε μὲ διάφορα χαρίσματα καὶ τὸν ἠξίωσε νὰ κάμνῃ θαύματα διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος καὶ τὸν ἔκαμε περιβόητον καὶ ἐξάκουστον καὶ θαυμάσιον εἰς τὰς νήσους τῶν Σποράδων καὶ εἰς πᾶσαν τὴν Ἑλλάδα· οὕτω γὰρ ἀντιδοξάζει ὁ Θεὸς τοὺς δοξάζοντας αὐτὸν διὰ τῶν θεαρέστων ἔργων καὶ διὰ τῆς καθαρᾶς πολιτείας. Ἀλλ' ὅπως «οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη», οὕτως οὐδὲ τοῦ ἁγίου Ῥηγίνου ἡ ἀρετή· διότι ἐζήτει ὁ λύχνος τὸ φῶς διὰ νὰ λάμψῃ εἰς ὅλην τὴν οἰκουμένην καὶ νὰ ὠφελήσῃ τὰ πλήθη τῶν ἀνθρώπων. Λοιπὸν τί γίνεται; μεταλλάσσει τὸν βίον ὁ ἀρχιερεὺς τῆς Σκοπέλου καὶ ψήφῳ Θεοῦ καὶ ἀνθρώπων λαμβάνει τὴν ἐπισκοπικὴν καθέδραν καὶ προστασίαν ὁ ἅγιος Ῥηγῖνος, καὶ γίνεται πάνδημος χαρὰ καὶ πανήγυρις ἐπὶ τῇ ἀναβάσει αὐτοῦ εἰς τὸν θρόνον καὶ συντρέχουσι τὰ πλήθη τῶν χριστιανῶν, ἄνδρες καὶ γυναῖκες, νέοι καὶ γέροντες, πλούσιοι καὶ πένητες διὰ νὰ ἁγιασθῶσι καὶ νὰ εὐλογηθῶσιν ὑπὸ τοῦ νέου ἀρχιερέως, νὰ ἰατρευθῶσιν οἱ ὑπὸ νόσων καὶ διαφόρων ἀσθενειῶν κατεχόμενοι διὰ τῆς ἐνοικούσης εἰς τὸν ἅγιον θείας χάριτος. Καὶ οἱ μὲν φιλόσοφοι ἀνευφήμουν τὸν ἅγιον φιλόσοφον καὶ ἄξιον τῆς ἀρχιερωσύνης, οἱ δὲ ἱερεῖς καὶ ὁ κλῆρος ἐπῄνουν αὐτὸν ὡς ἄξιον καὶ ἰσάγγελον αὐτῶν ποιμένα, καὶ ἅπαν τὸ πλῆθος τοῦ λαοῦ δι' ἐπαίνων καὶ ὕμνων προέπεμπον αὐτὸν εἰς τὸν θρόνον, χαίροντες καὶ ἀγαλλόμενοι, ὅτι ἠξιώθησαν νὰ ἀποκτήσουν τοιοῦτον σοφὸν καὶ ἐνάρετον ποιμένα. Ηὐφράνθησαν δὲ καὶ οἱ ἁμαρτωλοί, διότι ηὗραν τὸν προστάτην αὐτῶν καὶ διορθωτήν, παρηγορήθησαν καὶ οἱ πτωχοί, διότι ἀπέκτησαν θησαυρὸν τὸν ἅγιον καὶ ὅσοι εἶχον θλίψεις καὶ στενοχωρίας ἔλαβον παραμυθίαν, ὅτι θέλει διασκεδάσει τὰς θλίψεις αὐτῶν ἡ τοῦ ἁγίου πρόνοια καὶ ταχινὴ ἀντίληψις. Ἐπειδὴ δὲ τότε, ὅτε ὁ ἅγιος ἀρχιεράτευεν, ἐπεκράτει ἀκόμη ἡ τοῦ θεηλάτου Ἀρείου αἵρεσις καὶ πολλὴ σύγχυσις καὶ ταραχὴ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, διωρίσθη πάλιν ὑπὸ τῶν βασιλέων νὰ γίνῃ Σύνοδος εἰς τὴν Σαρδικήν, τὴν σήμερον καλουμένην Σόφιαν (ἔτει 347 μ.Χ.). Καὶ ἐκ μὲν τῶν ὀρθοδόξων, οἵτινες ἐξηρτῶντο ἐκ τῆς Δυτικῆς ἐκκλησίας, συνῆλθον περισσότεροι τῶν τριακοσίων ἀρχιερέων, ἐκ δὲ τῶν φρονούντων τὰ τοῦ Ἀρείου Ἀνατολικῶν ἑβδομήκοντα καὶ ἕξ. Μεταξὺ δὲ

www.tezaurliturgic.ro

τῶν τριακοσίων ἀρχιερέων τῆς Δύσεως διακρίνετο καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ θαυματουργὸς Ῥηγῖνος. Εἶχον δὲ καὶ οἱ τῆς αἱρέσεως τοῦ Ἀρείου ὀπαδοὶ τὸν δυσσεβῆ Εὐσέβιον, τὸν Ἰσχύραν, τὸν ἁρπάσαντα τὴν ἱερωσύνην μὲ τὸ χέρι του, τὸν Γρηγόριον καὶ τὸν Γεώργιον, εἴς τινας σκύμνους λεαίνης, οἵτινες, διαιροῦντες τὸν Υἱὸν ἀπὸ τῆς οὐσίας τοῦ Πατρός, ἑτεροούσιον ἔλεγον, ὡς καὶ τὸ ἅγιον Πνεῦμα, ἐν ᾧ τὸ θεῖον σύμβολον ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἀναφανδὸν ἐκήρυττεν αὐτό. Ὁ δὲ τοῦ Χριστοῦ πιστὸς τῷ ὄντι ποιμὴν καὶ εὐσεβὴς λάτρης Ῥηγῖνος τοῖς θείοις καὶ εὐαγγελικοῖς ῥήμασι καὶ γραφικαῖς ἀποδείξεσι καὶ τῷ περιόντι τῆς σοφίας τῶν λόγων αὐτοῦ καταβροντήσας αὐτοὺς καὶ κατὰ κράτος νικήσας, τῆς τοῦ Χριστοῦ ἐδίωξε ποίμνης. Οὗτοι δὲ μὴ δυνάμενοι νὰ ὑποφέρουσι τὴν αἰσχύνην, ἔφυγον ἐκ τῆς συνόδου εἰς Φιλιππούπολιν, ἔνθ' ἀπεκήρυξαν ἐκ νέου τὸν πατριάρχην Ἀλεξανδρείας Ἀθανάσιον. Ὁ δὲ ἅγιος Ῥηγῖνος μείνας ἐπεκύρωσε μετὰ τῶν λοιπῶν Πατέρων τὸ σύμβολον τῆς Νικαίας, ὁμολογήσας μετ' αὐτῶν τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Πνεύματι. Μετὰ δὲ τὴν λῆξιν τῆς Συνόδου ὁ ἅγιος Ῥηγῖνος νικητὴς καὶ τροπαιοῦχος ἐπανῆλθεν εἰς Σκόπελον. Ἀλλ' ἐπειδὴ εἶναι ἀδύνατον νὰ μὴ ἔλθωσι τὰ σκάνδαλα, πάλιν ἡ τοῦ Χριστοῦ ἐκκλησία φθόνῳ τοῦ ἀρχεκάκου καὶ μισοκάλου διαβόλου, ὡς ὑπὸ μεγάλου κλύδωνος ἡ θάλασσα, ταράττεται ὑπὸ τῶν ἀπίστων καὶ διώκεται σφοδρῶς. Μέγας διωγμὸς κατὰ τῶν χριστιανῶν κινεῖται ὑπὸ τοῦ βασιλέως τῆς Κωνσταντινουπόλεως Ἰουλιανοῦ τοῦ παραβάτου, ὅστις ἠθέλησε νὰ ἐπαναφέρῃ τὴν θρησκείαν τῶν ἀρχαίων Ἑλλήνων, τὴν εἰδωλολατρείαν ἀλλά πως μετεῤῥυθμισμένην ἐπὶ τὸ τελειότερον. Τότε, ἐν τῷ διωγμῷ ἐκείνῳ, φθάνει ὁ ἔπαρχος τῆς Ἑλλάδος καὶ εἰς τὰς Σποράδας νήσους,(1) ὅστις μετὰ πολλὰς βασάνους ἐφόνευε πολλοὺς τῶν χριστιανῶν. Εὑρὼν δὲ τὸν ἅγιον Ῥηγῖνον ἀρχηγὸν καὶ

(1) Εἰρήσθω ἐνταῦθα, ὅτι ὁ Κ. Δαπόντες τὰς Σποράδας καλεῖ Κυκλάδας νήσους.



ποιμένα τοῦ χριστωνύμου λαοῦ, ἐκράτησεν αὐτόν, καὶ μὴ δυνάμενος διὰ κολακειῶν ἢ φοβερισμῶν νὰ καταπείσῃ αὐτὸν νὰ ἀρνηθῇ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπεχείρησε μὲ δεινὰς καὶ ἀφορήτους τιμωρίας νὰ τὸν μεταβάλῃ, ἀλλὰ ματαίως· διότι ὁ ἅγιος, ὥσπερ χρυσὸς ἐν καμίνῳ καὶ σίδηρος λίαν πεπυρωμένος τῷ λίθῳ βαλλόμενος σπινθῆρας ἐκπέμπει οὕτως ἐν ταῖς βασάνοις ἐξέλαμψεν. Ἐπειδὴ δὲ ὁ ἔπαρχος ἤθελε νὰ ἀποσπάσῃ τὸν λαὸν ἐκ τοῦ χριστιανισμοῦ εἰς τὴν εἰδωλολατρείαν, ἤρκει μόνον νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα ὁ ἅγιος, διὰ παντοίων βασάνων κατεβασάνισεν αὐτόν. Ἰδὼν ὅμως ὅτι οὐδὲν κατώρθωνεν, ἀλλ' ὅτι οἱ χριστιανοὶ βλέποντες τὸν ποιμένα αὐτῶν ὑπομένοντα ἀνδρείως τὰς βασάνους, ἐστερεοῦντο ἐν τῇ εἰς Χριστὸν πίστει, διέταξε τὸν ἀποκεφαλισμὸν τοῦ ἁγίου. Οὕτως ἀπέτεμον τὴν ἁγίαν αὐτοῦ κεφαλὴν τῇ 25 Φεβρουαρίου τοῦ 362 ἔτους μ.Χ. παρὰ τὴν καὶ σήμερον σῳζομένην γέφυραν τῆς Σκοπέλου, ἣν οἱ κάτοικοι ὀνομάζουσι «παλιὸ γιουφύρ», καὶ ἡ μὲν ἁγία αὐτοῦ ψυχὴ ἀνέπτη εἰς τοὺς οὐρανοὺς καὶ συνευφραίνεται τοῖς ἀγγέλοις ὡς ἰσάγγελος, τοῖς ἀσκηταῖς ὡς συνασκητής, τοῖς ἱεράρχαις ὡς συνιεράρχης καὶ τοῖς μάρτυσιν ὡς συμμάρτυς, παρισταμένη τῷ θρόνῳ τῆς μεγαλωσύνης τοῦ Θεοῦ καὶ πρεσβεύουσα ἀδιαλείπτως ὑπὲρ πάντων τῶν μετ' εὐλαβείας ἐπιτελούντων τὴν ἱερὰν μνήμην αὐτοῦ. Τὸ δὲ πάντιμον αὐτοῦ σῶμα καὶ πολύαθλον ἐτέθη ἐντὸς ναοῦ ἀνεγερθέντος ἐπὶ λόφου παρὰ τὴν ἀπὸ τῆς πόλεως εἰς Ἀγνῶντα ἄγουσαν κειμένου. Ἀλλ' ἐπέπρωτο τῷ 1068 ὁ βασιλεὺς τῆς Σικελίας Γουλλιέλμος ὁ ἐπιλεγόμενος ἀγαθός, ἐπεδραμὼν τὰς νήσους πρὸς κατοχὴν τῶν λειψάνων τῶν ἁγίων, ν' ἁρπάσῃ αὐτὸ καὶ νὰ τὸ μεταφέρῃ εἰς Κύπρον. Ἐκεῖθεν τῷ 1740 τῇ φροντίδι τῆς Γερουσίας τῶν Σκοπέλων σταλεὶς αὐτόθι ὁ Χατζῆ Κωνσταντῖνος, ἔλαβε παρὰ τῶν Κυπρίων μέρη τινὰ τοῦ λειψάνου, ὡς λέγει ὁ Δαπόντες, ἅτινα ἐτέθησαν ἐν τῇ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Ἀπ' αὐτῆς δὲ διαλυθείσης μετηνέχθη ἡ ἱερὰ τοῦ ἁγίου χεὶρ εἰς τὸν μη-

τροπολιτικὸν ναὸν τῆς τοῦ Χριστοῦ Γεννήσεως, ὅθεν ἀπὸ διετίας ἤδη κατὰ τὴν ἐπέτειον ἑορτὴν τῆς μνήμης αὐτοῦ ἅπαντες οἱ κάτοικοι, μετὰ τῶν ἡγουμένων καὶ τῶν ἱερέων ἠμφιεσμένων τὰς λαμπροτέρας αὐτῶν ἀμφιέσεις, μεταφέρουσιν αὐτὴν ἐν ψαλμοῖς καὶ ὕμνοις μετὰ φανῶν καὶ ἑξαπτερύγων καὶ ἐναποθέτουσιν εἰς τὸν περὶ τὴν ἡμίσειαν ὥραν ἀπέχοντα ναὸν τοῦ ἁγίου, ὅπου ψάλλεται ἑσπερινὸς καὶ ἀγρυπνία καὶ τῇ ἐπιούσῃ τελεῖται θεία Λειτουργία, μεθ' ἣν οἱ αὐτοὶ πάλιν ἱερεῖς μετὰ τῆς αὐτῆς, ὡς πρότερον, πομπῆς ἐπαναφέρουσι τὸ θεῖον λείψανον εἰς τὸν ναὸν τῆς τοῦ Χριστοῦ Γεννήσεως.

Οὗτος εἶναι ὁ βίος τοῦ ἁγίου Ῥηγίνου, εὐλογημένοι μου χριστιανοί, αὐτὴ εἶναι ἡ πολιτεία τοῦ θεοφόρου τούτου πατρὸς ἡμῶν. Αὐτὸν λοιπὸν ἂς μιμηθῶμεν, αὐτὸν ἂς ἀκολουθήσωμεν διὰ νὰ τὸν ἔχωμεν βοηθὸν ἐν ταῖς ἀνάγκαις μας, παρηγορητὴν εἰς τὰς θλίψεις μας, ἰατρὸν εἰς τὰς ἀῤῥωστίας μας. Δὲν ἀπέθανε, καθὼς λέγει ὁ σοφὸς Σολομών. Δίκαιοι ζῶσιν εἰς τὸν αἰῶνα. Ἂς εὐφρανθῶμεν δὲ σήμερον εἰς τὴν ἁγίαν μνήμην του, ἂς ἑορτάσωμεν καὶ ἂς πανηγυρίσωμεν, ὄχι ὅμως μὲ χοροὺς καὶ μὲ ἄσεμνα καὶ ἀπρεπῆ παιγνίδια καὶ ξεφαντώματα, τὰ ὁποῖα ἁρμόζουσιν εἰς τοὺς ἀπίστους καὶ ἀσεβεῖς καὶ μὲ τὰ ὁποῖα εὐφραίνομεν τὸν διάβολον, ἀλλὰ μὲ ὕμνους, μὲ δοξολογίας, μὲ ψαλμῳδίας καὶ μὲ ἄλλα σεμνὰ καὶ θεάρεστα, τὰ ὁποῖα ἁρμόζουσιν εἰς ἡμᾶς τοὺς ὀρθοδόξους καὶ εὐσεβεῖς καὶ μὲ τὰ ὁποῖα εὐφραίνομεν τὸν ἅγιον, ὁ ὁποῖος ἵσταται ἀόρατος καὶ δι' ὅσους μὲν ἦλθον ἐνταῦθα καὶ συνηθροίσθησαν διὰ νὰ πανηγυρίσουν, καθὼς οἱ ἄπιστοι καὶ οἱ ἀσεβεῖς, λυπεῖται, θλίβεται καὶ τοὺς ἀποστρέφεται, δι' ὅσους δὲ ἦλθον διὰ νὰ τὸν δοξολογήσουν, διὰ νὰ προσκυνήσουν τὸν τάφον καὶ τὰ ἅγια αὐτοῦ λείψανα καὶ νὰ πανηγυρίσουν σεμνῶς καὶ θεαρέστως, χαίρει καὶ εὐφραίνεται, εὐλογεῖ καὶ παρακαλεῖ τὸν Θεὸν διὰ νὰ χαρίσῃ εἰς αὐτοὺς τὰ αἰτήματά των καὶ ἐδῶ μὲν εἰς τοῦτον τὸν κόσμον νὰ τοὺς ἀξιώσῃ νὰ περάσουν ζωὴν εἰρηνικὴν καὶ εὐτυχισμένην, εἰς



δὲ τὴν ἄλλην νὰ τοὺς κάμῃ μετόχους καὶ κοινωνοὺς τῶν αἰωνίων ἀγαθῶν τῆς οὐρανίου Του βασιλείας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ εἱρμός.

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου κατεπάτησαν ψάλλοντες· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἰατρεῖον ὑπάρχει ὁ ναός σου Παρθένε, καὶ καταφύγιον, τοῖς νόμῳ κρατουμένοις, τῷ πλήθει τῶν πταισμάτων, Ὁδηγήτρια ψάλλουσιν· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητός εἶ.

Πολυποίκιλα πάθη, καὶ δειναὶ περιστάσεις βίου συντρέχουσι, τὴν τάλαιναν ψυχήν μου, κειμένην ἐν τῷ σκότει. Ὁδηγήτρια πρόφθασον, καὶ τῆς αὐτῶν ἐξελοῦ, πικρᾶς με τυραννίδος.

Αἱ αἰσθήσεις μου πᾶσαι, ἡδονῶν ἐνεργείαις ἀπημαυρώθησαν, διὸ καταύγασόν μου, τὸν νοῦν σῇ ἐπισκέψει, Ὁδηγήτρια ὅπως σου, ἐν μετανοίᾳ θερμῇ, προστρέχει τῷ τεμένει.

Ῥυπαρῶν ἐκ χειλέων, καὶ ῥαθύμου καρδίας, δέξαι τὴν δέησιν, καὶ παῦσον τῶν παθῶν μου, τὸν κλύδωνα καὶ ζάλην, Ὁδηγήτρια ὅπως σοί, γαληνιώσῃ ψυχῇ, τὴν αἴνεσιν προσφέρω.

Κανὼν τοῦ Ἁγίου. Ὁ διασώσας ἐν πυρί.

Μαρτυρικῶς ὡς νικητὴς ἔνδοξε στεφθεὶς ἠγωνίσω, ὡς ἱεράρχης δὲ χρισθεὶς μύρῳ θείῳ Ῥηγῖνε, σὺ ἔχρισας τοὺς λαοὺς τῷ βαπτίσματι, ὁ Θεὸς εὐλογητὸς εἶ ἀναβοῶντας.

www.tezaurliturgic.ro

Ποιμὴν λαοῦ προχειρισθείς, ἴθυνας αὐτὸν ἐπὶ χλόην τῶν θελημάτων τοῦ Χριστοῦ, καὶ εὐρύθμως βοᾶν ἐξεπαίδευσας, ὑπερύμνητε Κύριε. Ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητός εἶ.

Τὴν ἐν προσώποις μὲν τρισί, φύσει δὲ μιᾷ θεοῤῥῆμον, σέβειν Θεότητα πιστῶς, τὸν Πατέρα Υἱὸν σὺν τῷ Πνεύματι, τὴν σὴν ποίμνην ἐδίδαξας, Εὐσεβίου τὴν μανίαν ἀπημαυρώσας.

Θεοτοκίον.

Νόμου τὸ πλήρωμα Ἁγνή, καὶ τῶν προφητῶν τὰς προῤῥήσεις, τίκτεις τὸν κτίστην τοῦ παντός, τὸν ἐν πάσῃ μηδόλως χωρούμενον, καὶ παρθένος διέμεινας, μετὰ γέννησιν Κυρία ὡς πρὸ τοῦ τόκου.

Ἕτερος κανών. Παῖδες ἑβραίων ἐν καμίνῳ.

Ἔτρεψας πλάνην δυσσεβείας, καὶ κατῄσχυνας τοὺς ἄθεσμα φρονοῦντας, τὸν Υἱὸν σὺ σοφὲ καὶ Πνεῦμα δογματίσας, σὺν τῷ Πατρὶ δοξάζεσθαι, ὡς ἓν ὄντα τῇ οὐσίᾳ.

Ἔφθασας χαίρων ὦ Ῥηγῖνε, πρὸς τὴν ποίμνην σου τὰ τρόπαια κατέχων, καὶ τοῖς πᾶσι τρανῶς ἐκήρυττες κραυγάζων· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ηὔφρανας πάτερ ἐπιστρέψας, τοὺς λαοὺς ἰδόντες σε παμμάκαρ, ἀριστέα Χριστοῦ, γενναῖον στρατηλάτην, τὰς παρατάξεις λύοντα, πονηρᾶς φαλαγγαρχίας.

Θεοτοκίον.

Ὄρος κατάσκιον προβλέπων, ἀχειρότμητος ἐξ οὗ ἐτμήθη λίθη λίθος· τὴν λιθώδη διὸ κατάνυξον ψυχήν μου, πεπωρωμένην Δέσποινα, ταῖς πικραῖς φιληδονίαις.



Ὠδὴ η΄. Ὁ εἱρμός.

Τὸν βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν τούτῳ σου τῷ ναῷ Θεομῆτορ, Ὁδηγήτρια πιστῶς πεφευγότας, σῴζοις ἐκ κινδύνων, καὶ βλάβης τῶν δαιμόνων.

Χρεωστικῶς πάντες οἱ πιστοί σου βοῶμεν· Ὁδηγήτρια σὺ σκέπε τοὺς πόθῳ, τούτῳ σου τῷ θείῳ προστρέχοντας τεμένει.

Ἱλέωσαί μοι τὸν σὸν Υἱὸν ὑπὲρ πάντας, Ὁδηγήτρια ἐξαμαρτόντι, τοὺς ἐκ τοῦ αἰῶνος, αὐτῷ προσκεκρουκότας.

Ὁ τῶν ἁπάντων βασιλεὺς σὲ μεσῖτιν, Ὁδηγήτρια καὶ προστασίαν, τῶν ἁμαρτανόντων κατέστησεν ἀξίως.

Κανὼν τοῦ Ἁγίου. Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε.

Τοὺς ἀθέους ἐχθροὺς καρτερώτατα, ἐναθλήσας τῷ νόμῳ κατῄσχυνας, καὶ τῷ Θεῷ προσήγαγες, τοὺς λαοὺς πείθων μέλπειν ἱεράρχα· πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Κατεβάλου τὸν σπόρον τῆς πίστεως, γεωργήσας τὴν ἄκαρπον ἄμπελον, καὶ λογικῶν δρεψάμενος ἑκατὸν ἀσταχύων, τὴν εὐκαρπίαν τῷ Χριστῷ, προσηγάγω μακάριε.

Τὴν σὴν εὔσημον μνήμην μακάριε, εὐφημῆσαι ἀξίως μὴ σθένοντες, χάριν δοθῆναι ἄνωθεν, ἡμῖν πᾶσιν αἰτοῦμεν, διὰ σοῦ πάτερ· παῤῥησίαν γὰρ ἔχεις, πρὸς Κύριον.

Ἐν προσώποις τρισὶ φύσιν ἄκτιστον, τὸν Πατέρα Υἱὸν σὺν τῷ Πνεύματι, θεολογεῖν ἐμάθομεν, εἰσηγήσεσι θείαις σου ἱεράρχα, εὐλογεῖτε βοῶντες τὸν Κύριον.

www.tezaurliturgic.ro

Τῶν κακῶν ἀποχὴν ὑπισχνούμενος, καθ' ἑκάστην καὶ πάλιν τὰ ἄτοπα, ποιῶ ἐν γνώσει Δέσποινα. Τὸν Υἱόν σου δυσώπει δοῦναί μοι λύσιν, τῶν δεινῶν, ὧν ἀφρόνως ἐξήμαρτον.

Ἕτερος κανών. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Τῶν στεφάνων τοὺς ἄθλους ἐκομίσω, ὥσπερ θύτης καὶ θῦμα τῷ Κυρίῳ· σφαγιασθεὶς γὰρ ὥσπερ σφάγιον, τὴν ἱερωσύνην ῥείθροις τῶν αἱμάτων, κατέχρωσας Ῥηγῖνε.

Τὰς βασάνους ὑπήνεγκας γενναίως, σπαραγμούς τε τοῦ σώματος Ῥηγῖνε· τὴν διπλοΐδα πάτερ τὴν τοῦ πνεύματος, πορφυρὰν εἰργάσω βάψας, ἐκ κογχύλης μαρτυρικῶν αἱμάτων.

Χαίρων πάτερ προσήχθης τῷ τυράννῳ, τὸν Δεσπότην δοξάζων ὡς πλουσίως, ἱερωσύνης χαρίσμασι κοσμήσαντα, καὶ τοῦ μαρτυρίου στέψαντα, στεφάνῳ τὴν κεφαλήν σου μάκαρ.

Θεοτοκίον.

Ἑσταμένων βεβαίωσις ὑπάρχεις, καὶ πεσόντων ἀνόρθωσις Παρθένε. Διὸ καταπεσόντα με ἀνάστησον, ἵνα σε δοξάζω, τὴν κεχαριτωμένην Μητέρα τοῦ Ὑψίστου.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνή, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνομεν.

Σταγόνας μου δακρύων, δέχου Θεομῆτορ, καὶ ἀποχὴν τῶν κακῶν μου πρυτάνευσον, χριστιανῶν προστασία καὶ Ὁδηγήτρια.

Τὰς ἄνω στρατηγίας, κάτω λειτουργούσας, ἐν τῷ τεμένει τῷ σῷ Ὁδηγήτρια, ὁμολογοῦμεν οἱ πάντες καὶ πεπιστεύκαμεν.



Οὐ φέρει δευτερεῖα, τῶν ἐπουρανίων, σοῦ ὁ ἐνταῦθα σηκὸς Ὁδηγήτρια· σὺ γὰρ ὡς ἥλιον ἔχεις μέσον Θεόνυμφε.

Κρηπῖδά σε καὶ βάθρον, καὶ ἄρρηκτον, τεῖχος οἱ βασιλεῖς Ὁδηγήτρια ἔχοντες, τὸν κληρουχέα φυλάττεις μέχρι τοῦ πέρατος.

Τῆς ἄνω κληρουχίας, μέτοχόν με δεῖξον, τὸν σὸν οἰκέτην ἁγνὴ Ὁδηγήτρια, καὶ τοῦ πυρὸς τῆς γεένης ἐκείνης λύτρωσαι.

Κανὼν τοῦ Ἁγίου. Ἅπας γηγενής.

Ἤνεγκας στεῤῥῶς, βασάνων τοὐπίπονον ἱερομάρτυς Χριστοῦ καὶ τὸν πολυμήχανον, ἐχθρὸν πανεύφημε κατετρόπωσας, καὶ ὡς ποιμὴν πανάριστος λαοὺς προσήγαγες, τῷ Δεσπότῃ καὶ τῶν πόνων ἔπαθλα, ἐπαξίως παμμάκαρ ἀπείληφας.

Σύσκηνος σοφέ, μαρτύρων γενόμενος ἀρχιερέων τε, μάκαρ παραπλήσιος, καὶ τῶν πάντων ἐφάμιλλος, ἀγγέλοις ὁμοδίαιτος Ῥηγῖνε ἔνδοξε, μεθ' ὧν πάντων ὑπὲρ τῶν ὑμνούντων σε, τὸν σωτῆρα δυσώπει καὶ Κύριον.

Δεῦτε μυστικῶς, Σκοπέλου τὸ σύστημα πανηγυρίσωμεν, καὶ χορείαν ἅπαντες τῷ Ἱεράρχῃ ἐπικροτήσωμεν, ἀξιοχρέως σήμερον αὐτὸν τιμῶντες σεπτῶς, ὅπως ῥῶσιν ψυχικὴν πλουτίσωμεν, ταῖς ἐντεύξεσι τούτου πρὸς Κύριον.

Θεοτοκίον.

Ὕμνους ἐκτενῶς, Ἁγνή σοι προσφέρομεν, καὶ καταφεύγομεν πρὸς τὴν σὴν ἀντίληψιν, καὶ ἐκ καρδίας σοι ἀνακράζομεν. Τὸν σὸν Υἱὸν δυσώπησον, αἰχμαλωσίας δεινῆς καὶ βαρβάρων ῥύσασθαι κακώσεως, καὶ εἰρήνην τῷ κόσμῳ δωρήσασθαι.

Ἕτερος κανών. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἐξέστησαν ἀγγέλων αἱ στρατιαί, ταῖς βασάνοις ὁρῶσαι ἀθλοῦντά σε καρτερικῶς, φέροντα πληγάς τε καὶ σπαραγμούς, τοὺς μελισμοὺς τοῦ σώματος, καὶ τὰς τιμωρίας τὰς χαλεπάς, ὡς ἄκμων ὡς ἀδάμας, ὥσπερ ἄλλος τις πάσχων Ῥηγῖνε πάτερ παμμακάριστε.

Ἡ κάρα σου ἐκβλύζει μάρτυς Χριστοῦ, ἀντὶ αἵματος γάλα πανένδοξε, καὶ τοὺς πιστούς, πάντας παροτρύνει χαρμονικῶς, δραμεῖν πρὸς τὸ μαρτύριον, καὶ σοὶ τῷ ποιμένι ἀκολουθεῖν, ὡς πρόβατα πρὸς μάνδραν Χριστοῦ συνεισαχθῆναι, καὶ βασιλείαν τὴν οὐράνιον.

Ἐφείσω τῆς σῆς ποίμνης μάρτυς σοφέ, καὶ λειψάνοις τοῖς σοῖς εὐηργέτησας· σῶμα τὸ σόν, πάλαι γὰρ ἐν Κύπρῳ μετατεθὲν τανῦν μετέθου ὅσιε, καὶ πρὸς τὴν σὴν ποίμνην ἐπιστραφείς, πρεσβεύεις τῷ Κυρίῳ ὑπὲρ αὐτῆς, ὡς ἔχων τὴν παῤῥησίαν μάρτυς.

Θεοτοκίον.

Φιλάγαθε Παρθένε τὸν ἀγαθόν, ἐκδυσώπει Υἱόν σου καὶ Κύριον διὰ παντός, τὴν κεκακωμένην ταῖς προσβολαῖς, τοῦ ψυχοφθόρου δράκοντος, καὶ ἐξασθενήσασόν μου ψυχήν, ἰάσασθαι καὶ σῶσαι, καὶ πάσαις ἀγαθοῦναι ταῖς φωτοφόροις ἀναβάσεσι.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἱεραρχῶν ὡραιότης, καὶ ἀθλοφόρων τὸ κλέος Ῥηγῖνε, καὶ μέγα τεῖχος θαλαττεύουσι πέλων, τοὺς σὲ πιστῶς εὐφημοῦντας ῥῦσαι παντοίων κινδύνων.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν μέγαν ἱερόαθλον, καὶ ποιμενάρχην ἄριστον, Σκοπέλου νήσου Ῥηγῖνον, ἐγκωμιάσωμεν πάντες· οὗτος γὰρ πᾶσαν αἵρεσιν, λόγοις καὶ ἔργοις ἤμβλυνε, καὶ



θαύμασι κατηύγασεν, Ἑλλάδα πᾶσαν καὶ νήσους, τὰς τῶν Κυκλάδων ἐνθέως.

Θεοτοκίον. Ὅμοιον.

Τῆς ποίμνης Σῶτερ πρόβατα, ὑπάρχωμεν τοῦ θείου σου, ἀρχιποιμένος Ῥηγίνου. Διό σε παρακαλοῦμεν, ἐλέησον τοὺς δούλους σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, πρεσβείαις τούτου Κύριε, καὶ τῆς πανάγνου Μητρός σου, τοῦ κόσμου τῆς σωτηρίας.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Ταῖς βαφαῖς τῶν αἱμάτων σου, ἱεράρχα πανόλβιε, τὴν στολὴν τὴν ἔνθεον ἐξεφοίνιξας, καὶ τῶν ἁγίων εἰς ἅγια, Ῥηγῖνε γενόμενος, ἔνθα νόων οἱ χοροί, καθαρῶς ἐποπτεύουσι τὴν τρισήλιον, καὶ ἀΐδιον δόξαν θεοφάντορ, ὧν ἐφάμιλλος ὑπάρχων, ὑπὲρ ἡμῶν καθικέτευσον.

Θεοπνεύστοις διδάγμασι, καὶ σοφαῖς ἀποδείξεσι, τὴν ἀχλὺν θεοσόφε καὶ κακόνοιαν, τοῦ Εὐσεβίου ἠφάνισας, Ἀρείου τε φρύαγμα ἐξωστράκισας σοφέ, καὶ Χριστὸν ἀνεκήρυξας, δύο φύσεσιν, ἐν μιᾷ ὑποστάσει γεγονότα, ὃν μὴ παύσῃ ἱκετεύων, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

Φιλεόρτων τὸ σύστημα, ἐν τῇ νήσῳ ἀθροίσθητε, τῆς Σκοπέλου ᾄσμασι μελῳδήσωμεν, δαυιτικοῖς εὐφραινόμενοι, Ῥηγῖνον τὸν ἔνθεον ἱεράρχην τοῦ Χριστοῦ, καὶ γενναῖον ἐν μάρτυσι, καὶ βοήσωμεν, ἐγκωμίοις σκιρτῶντες ἐν τῇ μνήμῃ, οὗ ἡ φθόγγος ἐξεχύθη, εἰς τὰ τοῦ κόσμου πληρώματα.

Δόξα. Ἦχος πλ. δ'.

Ἱεραρχῶν ὡραιότης, καὶ μαρτύρων ἀγλάϊσμα, ὅσιε ἡ τοῦ Χριστοῦ Ἐκκλησία, βάσιμον κρηπῖδα σὲ κεκτημένη Ῥηγῖνε σοφέ, τὰ ἑαυτῆς τέκνα συγκαλοῦσα πρὸς πανήγυριν, ἄγει φαιδρὰν ἑορτήν, καὶ βοᾷ ψαλμικῶς

μετ' εὐφροσύνης. Εἰς πᾶσαν τὴν γῆν ὁ φθόγγος τῶν σῶν κατορθωμάτων ἐξελήλυθε, καὶ τὰ πέρατα τῆς οἰκουμένης πάντα κατεφώτισε. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, ὡς ἔχων παῤῥησίαν πολλήν, λυτρωθῆναι ἡμᾶς τῶν ἐπεμβαινόντων δυσχερῶν, καὶ τὰ καθ' ἡμῶν τοῦ πονηροῦ ἔνεδρα παύσασθαι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.



*Ἱ.Ν. Γεννήσεως Χριστοῦ Σκοπέλου.*
*Ἡ παλαιοτέρα λειψανοθήκη μὲ τὸ ἱερὸ λείψανο τοῦ Ἁγίου Ῥηγίνου.*



# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος ἡ ᾠδὴ γ' καὶ στ'.

Ἀπόστολος.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων,
ὧν ἀνταπέδωκεν ἡμῖν;

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας· οὐ γὰρ ἔχομεν ἀρχιερέα, μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείας ἡμῶν, πεπειρασμένον δέ, κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας· προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν· πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν καὶ διὰ ταύτην ὀφείλει, καθὼς ὑπὲρ τοῦ λαοῦ, οὕτω καὶ ὑπὲρ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθ' ἅπερ καὶ ὁ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γεννηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε, καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

www.tezaurliturgic.ro

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ, καὶ πᾶς ὃς ἂν ἐρεῖ λόγον εἰς Υἱὸν τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ, τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται· ὅταν οὖν προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Κοινωνικόν.
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

## ΜΕΓΑΛΥΝΑΡΙΑ

*Ποίημα Ἰωάννου Δρακιώτου ἱεροψάλτου.*

Πνεύματος ἁγίου τὸν θησαυρόν, Συνόδου πατέρων, ἀντιλήπτορα τὸν θερμόν, τὸν ἀρχιερέα καὶ μάρτυρα Κυρίου, τὸν ἅγιον Ῥηγῖνον ὕμνοις τιμήσωμεν.

Σὲ σοφὸν ποιμένα καὶ πρόεδρον, σὲ καὶ πολιοῦχον, καὶ ὑπέρμαχον ἔχουσα, ἡ πόλις τῆς Σκοπέλου, σεμνύνεται τιμῶσα, τὸ θεῖον λείψανόν σου Ῥηγῖνε πάνσεπτε.

Τὸ τῆς Ἐκκλησίας στήριγμα, καὶ τῆς εὐσεβείας, τὸν ὑπέρμαχον ἀθλητήν, καὶ νήσου τῆς Σκοπέλου, τὸ καύχημα καὶ κλέος, Ῥηγῖνον τὸν ποιμένα ἡμῶν τιμήσωμεν.

Τὸν ἐν Ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθόν, τὸν νήσου Σκοπέλου ποιμένα καὶ προστάτην, τὸν μάρτυρα Ῥηγῖνον ὕμνοις τιμήσωμεν.



Τὸν τῆς οἰκουμένης θεῖον πυρσόν, καὶ τῆς εὐσεβείας διαπρύσιον κήρυκα, τὸν ἐν τῇ Συνόδῳ κρατύναντα τὴν πίστιν, τὸν ἅγιον Ῥηγῖνον ὕμνοις τιμήσωμεν.

Φύλαττε τὴν ποίμνην σου ἄτρωτον, ἀπὸ πάσης νόσου καὶ ἀνάγκης βροτολοιγοῦ, καὶ ταῖς ἱκεσίαις, ταῖς σαῖς, πάτερ Ῥηγῖνε, τὸ Πάσχα ἑορτάσαι ἡμᾶς ἀξίωσον.

Χαίροις Ἐκκλησίας τὸ στήριγμα, καὶ τῆς εὐσεβείας ὁ ὑπέρμαχος ἀθλητής, χαίροις τῆς Σκοπέλου τὸ καύχημα καὶ κλέος, Ῥηγῖνον τὸν ποιμένα ὕμνοις τιμήσωμεν.



*Ἱ.Ν. Γεννήσεως Χριστοῦ Σκοπέλου.*
*Λειψανοθήκη μὲ διάφορα ἱερὰ λείψανα Ἁγίων,*
*μεταξὺ αὐτῶν καὶ τοῦ Ἁγίου Ῥηγίνου.*

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ
# ΡΗΓΙΝΟΝ
# ΕΠΙΣΚΟΠΟΝ ΣΚΟΠΕΛΟΥ

*Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.*
*Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας.*

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον,
μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἱερομάρτυς εὐσταλὲς τοῦ Ὑψίστου, Σκοπέλου γέρας καὶ βλαστὲ Λεβαδείας, Ῥηγῖνε τρισμακάριστε, πρεσβείᾳ τῇ σῇ· ἅπαντες προστρέχομεν ἐν τοῦ βίου βασάνοις καὶ παρακαλοῦμέν σε· παῤῥησίαν ὡς ἔχων ὑπὲρ ἡμῶν μὴ παύσῃ ἐκτενῶς καθικετεύων τῶν πίστει τιμώντων σε.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.



Εἶτα ὁ Ν' Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·

«Ῥηγῖνε, φάνηθι πρὸς Κύριον πρέσβυς μου. Χ.»

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ῥηγῖνε, Σκοπέλου θαυματουργέ, προστάτα καὶ κλέος ἀθλοφόρων ἱεραρχῶν, πρὸς Κύριον φάνηθί μου πρέσβυς, καὶ πρὸς ἀγήρω ζωὴν ποδηγέτης μου.

Ἡ θεία, Ῥηγῖνε, καὶ πανσθενής, τοῦ Πνεύματος χάρις ἔδειξέ σε ἱεραρχῶν, φωστῆρα καὶ πρόεδρον Σκοπέλου ἐν συμφοραῖς καὶ δεινοῖς τὸν προφθάνοντα.

Γενοῦ μοι, Ῥηγῖνε, καταφυγή, ἐν βίου ἀνάγκαις, ἀπροσμάχητος βοηθός, καὶ τεῖχος ἀπόρθητον ἐφόδους, τὰς χαλεπὰς ἀποτρέπων τοῦ δράκοντος.

Ἰάσεις προχέει παντοδαπάς, Ὀρθόδοξον γέρας, τοῖς προστρέχουσιν εὐλαβῶς, Ῥηγῖνε σοφέ, τῇ ἀρωγῇ σου, καὶ τῇ θερμῇ πρὸς Θεὸν μεσιτείᾳ σου.

Θεοτοκίον.

Νενέκρωμαι, οἴμοι, ὁ δυστυχής, αἰσχραῖς ἁμαρτίαις καὶ ἀτόποις μου λογισμοῖς, πλὴν σοὶ καταφεύγων, ἐκβοῶ σοι· πρὸς τὸν Κριτὴν σαῖς πρεσβείαις με ζώωσον.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἐραστὴς τῆς ἀλήκτου ζωῆς, στεῤῥὲ πρόμαχε πίστεως, ὑπάρχων, Ῥηγῖνε, ἤθλησας ἄριστα, τῆς σωτηρίας λαμπροὺς ἵνα ἡμῖν ὑποδείξῃς τρόπους, τοῖς καθεύδουσιν ἐν σκότει σήψεως.

Φεραυγὴς Ἐκκλησίας ἀναδειχθεὶς ἥλιος, καὶ τῶν ἀθλοφόρων, Ῥηγῖνε, θεῖον φρυκτώρημα τὰς τρίβους φάνον ἡμῶν, ἵνα τριβόλους ἀνόμων ἔργων ἀποφύγωμεν καὶ σὲ γεραίρωμεν.

www.tezaurliturgic.ro

Ἀκανθώδεις, Ῥηγῖνε, τοῖς σοῖς σοφοῖς φθέγμασι, καὶ πανευσθενεῖ σου ἐνστάσει ἐριζοτόμησας βλαστούς· διό σοι βοῶ τῶν πρεσβειῶν σου ἀξίνῃ τὰ τῆς ἁμαρτίας μου πάθη ἐκρίζωσον.

Θεοτοκίον.

Νομοθέτην τεκοῦσα καὶ Λυτρωτὴν Κύριον, τὸν μηδόλως, Μῆτερ, ἐν πάσῃ κτίσει χωρούμενον, ἐδείχθης ὄντως, ἁγνή, τῶν οὐρανῶν πλατυτέρα· ὅθεν μακαρίζων σε κράζω· βοήθει μοι.

Ἰάσωσον τοὺς σοὺς ἱκέτας, Ῥηγῖνε, ἀπὸ κινδύνων, ἀλγηδόνων, ἐπιβουλῆς τοῦ πλάνου ἀλάστορος καὶ βλάβης ὡς ῥύστης τῶν σὲ τιμώντων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Φωστὴρ παμφαὲς ἱεραρχῶν καὶ πρόμαχε δογμάτων ὀρθῶν, Ῥηγῖνε, μέγα καύχημα τῆς Σκοπέλου, φώτισον σκοτομήνην παθῶν τῶν τιμώντων σε καὶ μετανοίας πᾶσι χρυσαυγὲς ἀνάτειλον ἦμαρ τοῖς ἱκέταις σου.

Ὠδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ἡ θεόσοφος γλῶσσά σου τοῦ Υἱοῦ, Ῥηγῖνε, τὸ ὁμοούσιον καὶ τὸ σύνθρονον τρανώσασα ἐν τῇ Σαρδικῇ πιστοὺς κατηύφρανε.

Θεωρίᾳ καὶ πράξεσι διαλάμπων ποίμνην τὴν σὴν κατηύθυνας πρὸς νομὰς Κυρίου, ὄλβιε, πρὸς ἃς ποδηγέτει καὶ σοὺς πρόσφυγας.



Ἱεράρχα θεόπνευστε, ὁ αἱρετιζόντων δεινὴν κακόνοιαν ἀφανίσας, τοὺς ἱκέτας σου ἐν τῇ Ὀρθοδόξῳ πίστει στήριξον.

Θεοτοκίον.

Προστασία καὶ στήριγμα τῶν χειμαζομένων, σεμνὴ Παντάνασσα, καθ' ἡμῶν τοῦ πολεμήτορος βέλη τὰ κινούμενα ἐκδίωξον.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ῥῦσαι συμφορῶν, τοὺς προστρέχοντας σῇ χάριτι ἱκεσίαις σου, Ῥηγῖνε, πρὸς Θεὸν καὶ αὐτῶν ἐκπλήρου πάντα τὰ αἰτήματα.

Ὄλβιε βλαστέ, Λεβαδείας καὶ ἀπάνθισμα ἱερώτατον Σκοπέλου πρὸς Θεόν, ἐκδυσώπει ὑπὲρ πάντων τῶν τιμώντων σε.

Σέμνωμα Χριστοῦ, Ἐκκλησίας, τὰ φρυάγματα ἀμαυρώσας δυσσεβῶν παρὰ Θεοῦ ὑπὲρ πάντων μεσιτεύειν χάριν εἴληφας.

Θεοτοκίον.

Κάθαρον ταχὺ τῆς καρδίας μου τὸν βόρβορον ῥυπτικαῖς πρὸς τὸν Υἱόν σου προσευχαῖς, εὐσυμπάθητε ἁγνή, Θεοχαρίτωτε.

Ὠδὴ στ'. Τὴν δέησιν.

Ὑπάνοιξον σωτηρίας πύλας μοι, ὁ ἰθύνας τὴν δοθεῖσάν σοι ποίμνην, πρὸς οὐρανίους, Ῥηγῖνε, λειμῶνας νυχθημερὸν ὑφηγούμενος ἅπασι σωτηριώδεις συμβουλάς, δυσωπῶ σε, Σκοπέλου ὡράϊσμα.

Ῥανίδας μοι τῶν δακρύων σπόγγισον οὐρανόθεν εὐχῶν σου τῷ μάκτρῳ καὶ χαρμονῆς πλῆσον, μάρτυς Ῥηγῖνε, τὸν σοὶ ἑκάστοτε πόθῳ προσφεύγοντα ταῖς πρὸς τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα σαῖς θείαις ἐντεύξεσι.

www.tezaurliturgic.ro

Ἱλέωσαι, ἀθλητά, τὸν Κύριον ἐπὶ πάσαις ταῖς ἡμῶν ἁμαρτίαις, τῶν σὲ ὑμνούντων τερπναῖς μελῳδίαις καὶ προσκυνούντων τὸ θεῖόν σου λείψανον, ἀρχιερεῦ θεοειδὲς καὶ μαρτύρων ἀλκίμων ἀπαύγασμα.

Θεοτοκίον.

Οὐ παύω σε μεγαλύνειν πάντοτε, ἀγλαὴ τοῦ κόσμου παραμυθία, Θεοκυῆτορ, καὶ ὕμνοις δοξάζειν τῷ χοϊκῷ σε τῷ γένει δωρήσαντι πηγὴν ἀέναον χαρᾶς ἀποπλύνουσαν ῥύπον τῶν θλίψεων.

Διάσωσον τοὺς σοὺς ἱκέτας, Ῥηγῖνε, ἀπὸ κινδύνων, ἀλγηδόνων, ἐπιβουλῆς τοῦ πλάνου ἀλάστορος καὶ βλάβης ὡς ῥύστης τῶν σὲ τιμώντων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Θαυματοφόρε Ῥηγῖνε, πανόλβιε, Σκοπέλου πρόεδρε ὄντως ἀνύστακτε, ἀπαύστως δυσώπει τὸν Κύριον ζοφώδους στενώσεως ῥύσασθαι τοὺς πόθῳ τῇ σκέπῃ σου σπεύδοντας.

Προκείμενον. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος
ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Εὐαγγέλιον. (Ἰωάν. ιε' 17-27 καὶ ιστ' 1-2)

Δόξα. Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον...



Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...

Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον.

Ἦχος β'. Ὅλην ἀποθέμενοι.

Σκεῦος θείας χάριτος περικαλλὲς ἀνεδείχθης, βίου καθαρότητι καὶ σοφοῖς σου ῥήμασιν, ἱερώτατε, ἀθλητῶν πρόβολε καὶ ἀρχιερέων πανοσίων γέρας τίμιον, Ῥηγῖνε πάνσεμνε, ἔκπαγλον Σκοπέλου ὡραΐσμα· διὸ ταῖς σαῖς ἐντεύξεσι πρὸς τὸν Λυτρωτὴν πάντες σπεύδοντες σοὶ ἀεὶ βοῶμεν· μὴ παύσῃ ἐποπτεύων ἐσαεί, τοὺς εὐφημοῦντας ἐν ᾄσμασι μνήμην τὴν ἁγίαν σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νυσταγμὸν τοῖς βλεφάροις καὶ κροτάφοις σου ὕπνον, σοφέ, οὐκ ἔδωκας, Ῥηγῖνε, ἕως πᾶσαν κατηύθυνας σὴν ποίμνην πρὸς ὁδοὺς ἐπιγνώσεως, πρὸς ἃς εὐχῶν σου, βοῶ, ὁδήγησόν με ῥάβδῳ.

Πολυποίκιλα πάθη θεραπεύεις, Ῥηγῖνε, τῇ θείᾳ χάριτι ὑψόθεν σοι δοθείσῃ καὶ νόσων ἀνιάτων ἰατὴρ ἀναδέδειξαι τοὺς σὲ τιμῶντας πιστῶς κουφίζων καθ' ἑκάστην.

Ῥείθροις, μάκαρ Ῥηγῖνε, τῶν πολλῶν σου χαρίτων τὴν παναθλίαν μου ψυχὴν τὴν φλεγομένων πυρὶ τῆς ἁμαρτίας καταδρόσισον, ἵνα σε ὡς ποταμὸν ἀνυμνῶ εὐσχήμως συμπαθείας.

Θεοτοκίον.

Ἐκ χειλέων ἀνάγνων καὶ ῥαθύμου καρδίας, Θεομακάριστε, τὴν δέησίν μου δέξαι καὶ παῦσον τῶν παθῶν μου χαμαιζήλων ὁρμήματα, ὅπως ὑμνῶ σε ἀεὶ ψυχῇ γαληνιώσῃ.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Σὲ ἱκετεύω, τὸν παραδόντα σαρκίον εἰς πληθὺν ἀνυποίστων βασάνων, πράϋνον σαρκός μου τὰς χαμερπεῖς ὀρέξεις.

Βεβήλων χείλη τῇ θεϊκῇ σου σοφίᾳ ὡς ἐσίγησας, πάτερ Ῥηγῖνε, σίγησόν μου χείλη τοῦ μὴ λαλῆσαι δόλον.

Ὑπὲρ τῶν πίστει τὴν παναγίαν σου μνήμην ἐκτελούντων, σεπτὲ Ἱεράρχα, τὸν Παμβασιλέα μὴ παύσῃ ἱκετεύων.

Θεοτοκίον.

Σταγόνας δέχου δακρύων, Μῆτερ, σῶν δούλων ὥσπερ μύρου ἀῤῥήτου ῥανίδας ῥαίνοντος ἀπαύστως σέ, Κεχαριτωμένη.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Μιμούμενος τὰ πάθη τοῦ Χριστοῦ, Ῥηγῖνε, τὴν σὴν ψυχὴν ὑπὲρ ποίμνης σου ἔθηκας, ἣν περισκέπεις ὑψόθεν καὶ νῦν, τρισένδοξε.

Ὁ Πανοικτίρμων Λόγος Θεοῦ σὲ ποδηγέτην ἡμῶν πρὸς βίον αἰώνιον ἔδειξε καὶ ὁδηγὸν σωτηρίας, Ῥηγῖνε πάνσοφε.

Ὑμνοῦμεν ἐπαξίως, σέ, ἱερομάρτυς, Σκοπέλου κέρας, Ῥηγῖνε μακάριε, καὶ πρὸς Θεὸν τὰς λιτάς σου ἀεὶ αἰτούμεθα.



Θεοτοκίον.

Χαρᾶς πιστῶν αἰτία, Μῆτερ γλυκυτάτη, τοὺς μεγαλύνοντας πόθῳ χαρίτωσον, σὲ καὶ δοχεῖα σοφίας αὐτοὺς ἀνάδειξον.

Ἄξιόν ἐστι... καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὸν ἱερομάρτυρα τοῦ Χριστοῦ, πρόεδρον Σκοπέλου, Λεβαδείας σεπτὸν βλαστὸν καὶ Ἀρείου φαύλου τὸν μέγαν καθαιρέτην, Ῥηγῖνον τὸν θεόπνουν ἐγκωμιάσωμεν.

Χαίροις, τῆς Σκοπέλου λαμπρὸς πυρσός, χαίροις, Ἐκκλησίας ὡραιότης καὶ στολισμός, χαίροις, ὀρθοδόξων δογμάτων μυροθήκη, Ῥηγῖνε θεοφόρε, πίστεως καύχημα.

Χάριν δεδεγμένος παρὰ Θεοῦ, ὡς ἱερομάρτυς καὶ δογμάτων προασπιστής, πάντας περισκέπεις τοὺς σὲ ἀεὶ τιμῶντας, Ῥηγῖνε, ὡς θαυμάτων κρήνην ἀέναον.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεόν, ἔνδοξε Ῥηγῖνε, καθικέτευε ἐκτενῶς, δυσθυμίας πάσης καὶ θλίψεων τοῦ βίου λυτροῦσθαι τοὺς ἐν ὕμνοις σὲ μακαρίζοντας.

Ἔχει Ἐκκλησία σε παμφαὲς πύρσευμα, Ῥηγῖνε, καὶ ἡ Σκόπελος τιμαλφῆ ὄλβον, πολιοῦχον, προστάτην τε καὶ ῥύστην ἐκ πάσης τρικυμίας καὶ περιστάσεως.

Τὸν τῆς εὐσεβείας καθηγητήν, φάρον ἀληθείας, διαπρύσιον τῶν ὀρθῶν κήρυκα δογμάτων, Ῥηγῖνον θεοφόρον καὶ κλέος ἀθλοφόρων, πάντες τιμήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ'. Θείας πίστεως.

Θεῖον σέμνωμα Ὀρθοδοξίας, τιμαλφέστατον Σκοπέλου εὖχος, ἀθλητῶν ἀρχιερέων ὑπόδειγμα καὶ ἰαμάτων χειμάῤῥουν ἀείῤῥοον, σεπτὸν Ῥηγῖνον, τιμήσωμεν ᾄσμασι πόθῳ κράζοντες· Κυρίῳ ἀπαύστως πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν, θεόσοφε.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·

Ἦχος β'. Ὅτε ἐκ τοῦ Ξύλου.

Σκέπε οὐρανόθεν τοὺς πιστῶς σπεύδοντας, Ῥηγῖνε, ἐν δίναις τῇ σῇ θερμῇ ἀρωγῇ κράζοντας· πανσέβαστον Σκοπέλου κλέϊσμα, ὀφλημάτων τὴν ἄφεσιν Χριστὸν ἡμῖν αἴτει καὶ ταχὺ ἐκλύτρωσαι ἐκ περιστάσεων, ἄχθους ζοφεροῦ καὶ κινδύνων τοὺς ἐξαιτουμένους ἀπαύστως τὴν θερμὴν πρὸς Κύριον πρεσβείαν σου.

Δέσποινα, πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

Δίστιχον

Εὐμενῶς δέξαι δέησιν Χαραλάμπους,<br>
Ῥηγῖνε πάνσοφε, Σκοπέλου φαιδρότης.



# ΕΓΚΩΜΙΑ

*Ποίημα Ἰωάννου Δρακιώτου ἱεροψάλτου*

Στάσις Α'. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Σκοπέλου ὦ Ῥηγῖνε τὸ καύχημα, καὶ ὑμνοῦμέν σου λειψάνων κομιδήν.

Μακαρίζομέν σε, καθορῶντες σαφῶς, τὴν λειψάνων σου ἐξ ἄνωθεν δύναμιν παρεχόντων ῥῶσιν ἄφθονον πιστοῖς.

Ἡ ἀκροστιχὶς· κατ' ἀλφάβητον.

Ἄνοιξον τὸ στόμα, νοερὸν τῆς ψυχῆς, ὅπου ἐπαξίως ὑμνήσω σου, τὰ τρόπαια ἃ ἔστησας κατ' ἐχθρῶν.

Βήματι τοπάρχου, παραστὰς ἀνδρικῶς, ἐμηδένισας Ἀρείου τὰ δόγματα, καὶ ἐστήριξας τὴν πίστιν τοῦ Χριστοῦ.

Γέρας τῶν σῶν πόνων, εἰληφὼς ἐκ Θεοῦ, θεραπεύεις πᾶσαν νόσον τοῖς κάμνουσι, τῇ ἐπιψαύσει σοῦ λειψάνων τῶν σεπτῶν.

Δέομαί σου μάκαρ, φώτισόν μου τὸν νοῦν, ὅπως μέλψω τοὺς ἀγῶνας καὶ τοὺς πόνους σου, ἐγκωμίοις καὶ ᾠδαῖς πνευματικαῖς.

Ἔρωτι μαρτυρίου, θείῳ σὺ ἐμπνευσθείς, χαίρων ἐν σταδίῳ προσέδραμες, δοὺς τὸ σῶμα εἰς ἀντίλυτρον ψυχῆς.

Ζῇς καὶ βασιλεύεις, ἐν Χριστῷ Ἰησοῦ, ὑπὲρ οὗ ὑπέστης μαρτύριον, μετὰ τῶν μακάρων συγχοροστατῶν.

Ἤρθη ἐκ Σκοπέλου, ἰσχυροῦ τῇ βουλῇ, τὸ σὸν λείψανον εἰς Κύπρον τὴν εὔφορον, ὅπως ἀμφοτέρας εὐλογῇς.

Θεία σου σοφίᾳ, οὐ σοφίᾳ φθαρτοῦ, τοῦ παράφρονος Ἀρείου ἀπήλεγξας, φλυαρίας καταισχύνας ὀπαδούς.

Ἴθυνας τὸ βέλος, πρὸς καρδίαν ἐχθρῶν, καὶ κατέβαλες αὐτοὺς καὶ τὸ Σύμβολον, ἐν Συνόδῳ διετράνωσας πιστοῖς.

Κληθεὶς ἐν Συνόδῳ, ὦ Ῥηγῖνε σοφέ, διεκήρυξας τὸ Πνεῦμα τὸ Ἅγιον, ὁμοούσιον Υἱῷ τε καὶ Πατρί.

Λύρα θεοφθόγγος, ἐν Συνόδῳ δειχθείς, κατεσίγησας Ἀρείου ληρήματα, καὶ ἐτράνωσας Νικαίας τοὺς θεσμούς.

Μιᾷ συνεδρίᾳ, οἱ Πατέρες σὺν σοί, τὸ τῆς πίστεώς ἡμῶν Σύμβολον ἔδωκαν, τοῦ πιστεύειν τρισυπόστατον Θεόν.

Νέος ὤφθης μάκαρ, Ἀβραὰμ τῷ Χριστῷ, παραστήσας τὴν σὴν ποίμνην ἀμόλυντον, ἀπὸ δοξασίας αἱρετικῶν.

Ξύλῳ προσηλώθη, ὁ Σωτὴρ δι' ἡμᾶς· δι' ἀγάπην του διὸ μολὼν ἤθλησας, παραδοὺς μάκαρ σαυτὸν βασανισταῖς.

Ὁ λαός σου πάτερ, ὁ θεόθεν λαχών, τῆς σῆς ποίμνης προσκομίζει τὰ λείψανα, ἐν ᾠδαῖς πνευματικαῖς τῷ σῷ ναῷ.

Πῶς δυνήσεταί τις, ἀνυμνῆσαι τρανῶς, τῶν λειψάνων σου τὰ πλήθη ἰάσεων, ἃς ἐδώρησαν τῇ μόνῃ ἐπαφῇ.



Ῥῦσαι τοὺς σοὺς δούλους, ὦ Ῥηγῖνε σοφέ, τοὺς τιμῶντάς σου τὴν μνήμην τὴν πάνσεπτον, ἀπὸ πάσης τοῦ Βελίαρ προσβολῆς.

Σὲ παρακαλοῦμεν, ἱκετεῦσαι Θεῷ, λυτρωθῆναι τοὺς σοὺς δούλους κολάσεως, καὶ τυχεῖν τῆς Βασιλείας Οὐρανῶν.

Τεῖχος καὶ προστάτης, τῆς Σκοπέλου ταχθείς, κατεπόντισας Ῥηγῖνε τὸν δράκοντα, μόνῳ λόγῳ τῇ δυνάμει τοῦ Σταυροῦ.

Ὑπὲρ τῶν τιμώντων, τὴν σὴν μνήμην σεπτέ, Ἱεράρχα τῆς Σκοπέλου καὶ πρόμαχε, μὴ παύσῃ ἱκετεύων τὸν Θεόν.

Φώτισον τὸν νοῦν μου, ὅπως ᾄσω τὰ σά, κατὰ τοῦ Ἀρείου παλαίσματα, καὶ ἀθλήσεις καὶ κακώσεις τὰς φρικτάς.

Χαῖρε καὶ εὐφραίνου, ποιμενάρχα Χριστοῦ, καθορῶν πανευλαβῶς τὸ σὸν ποίμνιον, ἑορτάζον σοῦ τὴν μνήμην ἐν ᾠδαῖς.

Ψάλλομεν ἐν πίστει, ἀσιγήτοις φωναῖς, καὶ ταχέως τὰς ἰάσεις λαμβάνομεν· τῶν θαυμάτων γὰρ ὑπάρχεις ἡ πηγή.

Ὦ Ῥηγῖνε μάκαρ, ἄγγελος ἐπὶ γῆς, ζήσας νῦν ἐν οὐρανοῖς εὐφραινόμενος, σὺν Ἀγγέλοις καὶ Ἁγίοις κατοικεῖς.

Δόξα. Τριαδικόν.

Προσκυνῶ Πατέρα, ἀνυμνῶ τὸν Υἱόν, σέβω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν οὐσίᾳ καὶ θεότητι μιᾷ.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ καὶ παρθένε, προστασία πιστῶν, τὸν θεάν-

www.tezaurliturgic.ro

θρωπον Υἱόν σου ἱκέτευσον, ὅπως λύσιν ἀποδῷ μοι τῶν παθῶν.

Καὶ αὖθις τὸ πρῶτον.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, τῆς Σκοπέλου ὦ Ῥηγῖνε τὸ καύχημα, καὶ ὑμνοῦμέν σου λειψάνων κομιδήν.

Στάσις Β΄. Ἄξιόν ἐστι.

Ἄξιόν ἐστι μακαρίζειν σε θεῖε Ῥηγῖνε, νήσου τῆς Σκοπέλου τὸν πρόμαχον καὶ τῆς πόλεως τὸν ἄγρυπνον φρουρόν.

Ἄξιόν ἐστι, τὸν Ῥηγῖνον ἀνυμνολογῆσαι, τὸν ἐν τῇ Συνόδῳ κηρύξαντα, ὁμοούσιον τὸ Πνεῦμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

Ἡ ἀκροστιχίς· κατ' ἀλφάβητον.

Ἅπαντες πιστοί, προσενέγκωμεν τῷ Ἱεράρχῃ, ὕμνους καὶ ᾠδὰς νῦν χρεωστικῶς, τὰ παράδοξα κηρύττοντες αὐτοῦ.

Βλέποντες τὸ σόν, ἀξιάγαστε θεῖε Ῥηγῖνε, μέρος τῶν λειψάνων σου προφανῶς, ὥσπερ ζῶντά σε ὁρῶμεν ἐν ἡμῖν.

Γεῦσιν ἣν τρυφᾷς, ἱερώτατε ἐν οὐρανίοις, νῦν χοροστασίαις πάντας ἡμᾶς, ἀπολαῦσαι σαῖς ἀξίωσον εὐχαῖς.

Δίκαιος ὀφθείς, θεαρέστῳ σου τῇ πολιτείᾳ, ἤνθισας ὡς φοῖνιξ τῇ ποίμνῃ σου, ὡς φησὶν ὁ προφητάναξ ἐν ψαλμοῖς.

Ἔσβεσας τὸ πῦρ, τῆς δυσώδους τοῦ Ἀρείου πλάνης, καὶ τοὺς ὀπαδοὺς ταύτης ἤλεγξας, ὡς βλασφήμους τῇ οὐσίᾳ τοῦ Θεοῦ.



Ζέον ὥς τι πῦρ, ἔφλεξας ἐν τῇ Συνόδῳ, τοὺς ἀρειανίζοντας πάνσοφε, ὁμοούσιον τὸ Πνεῦμα προσειπών.

Ἤμβλυνας αἰχμήν, τῶν δεινῶν Ἀρείου σοφισμάτων, τρανῶς κηρύξας Πνεῦμα τὸ Ἅγιον, ὁμοούσιον Πατρί τε καὶ Υἱῷ.

Θέλων ἤθλησας, ὑπὲρ πίστεως Χριστοῦ παμμάκαρ· διὸ παρ' αὐτῷ νῦν παρίστασαι, μαρτυρίου στέφανον λαμπρὸν φορῶν.

Ἴθυνον ἡμᾶς, εἰς τῶν θείων ἐντολῶν τὰς τρίβους, ὅπως τὸ λοιπὸν διανύσωμεν, στάδιον τοῦ βίου εὐσεβῶς.

Κάθαρον ἡμᾶς, τὴν διάνοιαν θεῖε Ῥηγῖνε, ὅπως ἐπαξίως ὑμνήσωμεν, τὸν ἰσάγγελόν σου βίον τὸν ἐπὶ γῆς.

Λύων τῶν παθῶν, ἀσθενήματα Ἱερομάρτυς, πᾶσιν ἀπονέμεις τὴν ἴασιν, μόνῃ τῶν λειψάνων σου ἐπαφῇ.

Μιμητὴς Χριστοῦ, τοῖς παθήμασιν αὐτοῦ ἐγένου τιθεὶς ὑπὲρ ποίμνης σου τὴν ψυχήν, ἔδωκας τὸ σῶμα βασανισταῖς.

Νέμοις τοῖς πιστοῖς, τοῖς προστρέχουσι τῷ σῷ λειψάνῳ, πιστῶς αἰτοῦσι τὴν ἴασιν, μόνῳ τοῦ λειψάνου ἀσπασμῷ.

Ξένον θέαμα, καὶ αἰδέσιμον Ἀγγέλοις, ὤφθης ὄνυξε τὴν σάρκα ξεόμενος, καὶ ὑπέμεινας βασάνους ἐν χαρᾷ.

Ὁμοούσιον, τῷ Πατρὶ σὺν τῷ Υἱῷ κηρύξας, Πνεῦμα τὸ πανάγιον ἤλεγξας, τοὺς Ἀρειανοὺς ὡς ἀσεβεῖς.

Πάντων εὐμενῶς, τὰ αἰτήματα πλήρωσον μάκαρ, καὶ παντοίας βλάβης περίσῳζε, τοὺς τιμῶντάς σου τὴν μνήμην τὴν σεπτήν.

Ῥῦσαι σαῖς εὐχαῖς, τοὺς προστρέχοντας τῷ σῷ τεμένει, καὶ τῇ τοῦ λειψάνου σου χάριτι, αἰτουμένους τὰ ἰάματα πιστῶς.

Σῶμα καὶ ψυχήν, ἀφιέρωσας Θεῷ παμμάκαρ, τὸ μὲν σῶμα δοὺς τοῖς βασανισταῖς, τὴν ψυχὴν δὲ ἐν χερσὶ τῷ Πλαστουργῷ.

Τείχισον ἡμᾶς, ταῖς πρεσβείαις σου θεῖε Ῥηγῖνε, ὅπως ἐν δεινοῖς καταφεύγωμεν, τῷ τεμένει σου αἰτοῦντες ἀρωγήν.

Ὕφαλον δεινήν, καὶ παράνομον κακοδοξίαν, θείᾳ σου σοφίᾳ ἐδίωξας, τοῦ Ἀρείου Ἱεράρχα θαυμαστέ.

Φάνηθι ἡμῖν, ταχινὸς θεσπέσιε προστάτης, καὶ πυρὸς παθῶν ἡμᾶς λύτρωσαι, ψυχοφθόρων ἀφαρπάζων τῶν χειρῶν.

Ψάλλοντες ᾠδάς, προσερχόμεθα τῷ σῷ τεμένει, καὶ τὰ λείψανά σου κομίζοντες, ἀσπαζόμεθα αὐτὰ πανευλαβῶς.

Ὡς ἀρχιερεύς, τοῦ Χριστοῦ καὶ μάρτυς πέλων, πρόσδεξαι τοὺς ὕμνους καὶ πρέσβευε, Βασιλείας Οὐρανῶν ἡμᾶς τυχεῖν.

Δόξα. Τριαδικόν.

Τὴν πανσθενουργόν, ἀναμνήσωμεν πιστοὶ Τριάδα, ἄναρχον Πατέρα καὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ πανάγιον ὁμοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Πάνσεμνε Θεόν, ἡ κυήσασα Παρθενομῆτορ, ὑπὲρ τῶν σῶν δούλων ἱκέτευε, σὲ τιμώντων καὶ ὃν ἔτεκες Υἱόν.



Καὶ αὖθις τὸ πρῶτον.

Ἄξιόν ἐστι, μακαρίζειν σε θεῖε Ῥηγῖνε, νήσου τῆς Σκοπέλου τὸν πρόμαχον, καὶ τῆς πόλεως τὸν ἄγρυπνον φρουρόν.

Στάσις Γ΄. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, ὕμνοις σε τιμῶσι, τὸν θεῖον Ἱεράρχην.

Ἡ πλειὰς τῶν νήσων, Σποράδων καὶ Κυκλάδων, σὲ εὐφημοῦσι μάκαρ.

Ἡ ἀκροστοιχίς· κατ᾿ ἀλφάβητον.

Ἄνοιξόν μου στόμα, ὅπως σοῦ ὑμνήσω, τὰ ἆθλα, ὦ Ῥηγῖνε.

Βεβήλων τῶν Ἀρείων, ἐσίγησας τὰ χείλη, τῇ θείᾳ σου σοφίᾳ.

Γέρας τῶν σῶν πόνων, εἴληφας παμμάκαρ, στέφανον μαρτυρίου.

Δὸς ἡμῖν ὑγιείαν, τοῖς πίστει προσκυνοῦσι, τὸ θεῖον λείψανόν σου.

Ἔθλασας παμμάκαρ, τὴν κάραν τοῦ Βελίαρ, ἀθλῶν ἐν τῷ σταδίῳ.

Ζῇς μετὰ μακάρων, μαρτύρων Ἱεράρχα, σκηναῖς ἐν οὐρανίαις.

Ἤθλησας γενναίως, ὑπὲρ τῆς εὐσεβείας, διό σε εὐφημοῦμεν.

Θρόνῳ τοῦ Ὑψίστου, παρεστηκὼς ὁμίλει, ὑπὲρ τῶν σὲ ὑμνούντων.

Ἱλέωσον τὸ Θεῖον, ἐπὶ ταῖς ἁμαρτίαις, τῶν σὲ ὑμνολογούντων.

www.tezaurliturgic.ro

Κλέος τῶν μαρτύρων, καὶ τῶν ἀρχιερέων, πέφυκας ὦ Ῥηγῖνε.

Λάμψας τῇ σοφίᾳ, ἐδίωξας τοῦ σκότους, αἱρέσεις ἐν Συνόδῳ.

Μύρα ἀντὶ ὕμνων, προσφέρομέν σοι μάκαρ, κυκλοῦντές σου τὸν τάφον.

Νεῦσον οὐρανόθεν, ἐπὶ τοῖς δεομένοις, ἐκλιπαρῶν τὸ Θεῖον.

Ξενίζεταί τις νόσους, παντοίας θεραπεύων, ὁρῶν τὸ λείψανόν σου.

Ὅλως ἐπεδόθης, ταῖς θείαις σου μελέταις, διὸ καὶ ἐδοξάσθης.

Πῶς σοῦ ἐξυμνήσω, τοὺς πόνους ὦ Ῥηγῖνε, οὓς ἐναθλῶν ὑπέστης.

Ῥαίνομεν τὸν τάφον, καὶ τὸ λείψανόν σου, ὕμνοις εὐχαριστίας.

Σῷζε τοὺς ὑμνοῦντας, καὶ πίστει προσκυνοῦντας, τὸ θεῖον λείψανόν σου.

Τεῖχος καὶ προστάτης, γενοῦ τῶν θλιβομένων, καὶ σὲ ἀνευφημούντων.

Ὕψωσον οἰκτίρμον, χριστιανῶν τὸ κέρας, πρεσβείαις, τοῦ Ῥηγίνου.

Φωτὶ τῆς τρισηλίου, καταυγασθεὶς τὸν ζόφον, διέλυσας Ἀρείου.

Χαίροις ὦ Ῥηγῖνε, ἱεραρχῶν τὸ κλέος, καὶ καύχημα μαρτύρων.

Ψάλλομέν σοι ὕμνους, καὶ πίστει προσκυνοῦμεν τὸ θεῖον λείψανόν σου.



Ὦ θεῖε Ῥηγῖνε, τοὺς σὲ ὑμνολογοῦντας, φρούρει ταῖς σαῖς πρεσβείαις.

Δόξα. Τριαδικόν.

Ὦ Τριὰς Ἁγία, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τοὺς δούλους.

Καὶ νῦν. Θεοτοκίον.

Ὦ Παρθενομῆτορ, οἴκτιρον τοὺς πίστει, ὑμνοῦντας τὸν σὸν τόκον.

Καὶ αὖθις τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, ὕμνοις σὲ τιμῶσι, τὸν θεῖον Ἱεράρχην.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ἱεράρχην.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν σταδίῳ ἀθλοῦντα τοῦ θανάτου γάρ, κατεφρόνησας μάκαρ, καὶ τὴν σὴν ψυχήν, τῇ χειρὶ παρέδωκας, τοῦ Θεοῦ, ἐπαξίως σε δοξάσαντος.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ἱεράρχην.

Τῶν μαρτύρων τὸ πλῆθος, χαῖρον εἶδέ σε μάρτυς, ἐν αὐτοῖς λογισθέντα· τῶν εἰδώλων γάρ, τὴν λατρείαν ἐλέγξας, λίαν εὐθαρσῶς, εἴληφας τὸν στέφανον, τοῦ κλεινοῦ μαρτυρίου σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ἱεράρχην.

Λίαν θερμῶς, ἐν Συνόδῳ ἔδραμες, τῇ ἐν Σαρδικῇ συγκροτηθείσῃ, στὰς δ᾽ ἐν μέσῳ, τοὺς Ἀρείου ἤλεγξας καὶ εἶπες· πλάνης ὁ καιρός, πέπαυται καὶ κράζετε. Πατὴρ Υἱὸς καὶ Πνεῦμα, Τριάς ἐστιν ἀχώριστος.

www.tezaurliturgic.ro

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ἱεράρχην.

Μισθοφόροι τυράννου, τὸ σὸν σῶμα ὡς θῆρος, κατεσπάραξαν ταῖς βασάνοις, ἐντρυφῶντες· σὺ δὲ τρανῶς, πρὸς αὐτοὺς ἔφης χαίρων. Εἰ ὦ ἀσεβεῖς, σῶμά μου νεκρώσετε ἡ ψυχή μου ἐν Οὐρανοῖς βιώσεται.

Δόξα. Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν ἄχρονον Λόγον, ἐξ αὐτοῦ γεννηθέντα, καὶ Παράκλητον θεῖον, ἐκ Πατρὸς προελθόντα, καὶ σὺν τοῖς Ἀγγέλοις βοήσωμεν, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην γαστρί σου, ἀειπάρθενε Κόρη, τὸν Υἱὸν καὶ Θεόν σου, συλλαβοῦσα ἀφράστως, καὶ κυήσασα μόνη, ῥεύσαντος ἡμᾶς, ἴθυνον πρὸς τὴν ζωήν, μεσιτείαις ταῖς σαῖς πρὸς Θεὸν καὶ ἄνθρωπον.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα σοι ὁ Θεός. (γʹ)








*Ὁ Ἅγιος Ῥηγῖνος ὅπως εἰκονίζεται στὴν παλαιοτέρα λειψανοθήκη.*